ΟΔ. ΛΑΜΨΙΔΟΥ δ. φ.

ΑΓΙΟΣ ΙΩΑΝΝΗΣ Ο ΚΑΛΥΒΙΤΗΣ

(ΑΝΕΚΔΟΤΑ ΚΕΙΜΕΝΑ ΕΚ ΠΑΡΙΣΙΝΩΝ ΚΩΔΙΚΩΝ)

1. Ὁ γνωστὸς ὑμνογράφος Ἰωσήφ, ἀκμάσας τὸν 9ον αἰῶνα, ἔγραψε πρὸς τιμὴν τοῦ ἁγίου Ἰωάννου τοῦ Καλυβίτου κανόνα, φέροντα τὴν ἀκροστιχίδα «πτωχὸν δεῖξόν με παθῶν εὐχαῖς σου, μάκαρ· Ἰωσήφ». Τὸ γεγονὸς τοῦτο, ὡς καὶ ἑτέρα μαρτυρία ἐν τῇ λατινικῇ μεταφράσει τοῦ βίου τοῦ ἁγίου τούτου, καθ' ἣν ἐν τῷ προλόγῳ αὐτῆς ἀναγράφεται τὸ ἔτος 868, πείθουν ἡμᾶς ὅτι ἡ ἁγιογραφικὴ παράδοσις περὶ τοῦ ἡμετέρου ἁγίου ἀνέρχεται τοὐλάχιστον μέχρι τοῦ 9ου αἰῶνος (¹). Ἐν τούτοις ὅμως ἡ μελέτη τῶν σχετικῶν πρὸς τὸν Ἰωάνννην κειμένων ἄγει προσέτι εἰς τὰς κατωτέρω διαπιστώσεις περὶ τοῦ χρόνου προελεύσεως τούτων :

1) Ὅτε γράφονται τὰ ἡμέτερα κείμενα ἡ μονὴ τῶν Ἀκοιμήτων εὑρίσκεται ἀκμά-

---

1) Καίτοι παραπέμπομεν εἰς τελευταίαν ἡμετέραν δημοσίευσιν περὶ Ἰωάννου τοῦ Καλυβίτου (Ὁ δ. Λ α μ ψ ί δ ο υ, Βίος καὶ πολιτεία ἁγίου Ἰωάννου τοῦ Καλυβίτου, λανθάνων εἰς ἑλληνικὸν παραμύθιον τοῦ Πόντου, Ἀρχεῖον Ἐκκλησιαστικοῦ καὶ Κανονικοῦ Δικαίου, 19 1964)3—17) ἐν ᾗ συζητοῦνται ἔνια τῶν προβλημάτων, τὰ ὁποῖα παρουσιάζονται καὶ ἐν τῇ παρούσῃ, καὶ μνημονεύεται ἡ περὶ τούτων βιβλιογραφία, ἐν τούτοις δὲν κρίνομεν ἄσκοπον νὰ ἀναφέρωμεν καὶ πάλιν βιβλιογραφικάς τινας παραπομπάς.

Οὕτω διὰ τὸν βίον τοῦ ἁγίου ἰδέ :

A. E h r h a r d, Überlieferung und Bestand der hagiographischen und homiletischen Literatur der griechischen Kirche, 1937—1952, I, 1, 182, 343, 393, 422, 533, 536, I, 2, 171, I, 3. 100, 178, 180, 847.

A. S i e g m u n d, Die Überlieferung der griechischen christlichen Literatur in der lateinischen Kirche bis zum 12. Jahrhundert, 1949, 266—267.

B. H. G. (Bibliotheca Hagiographica Graeca), 3η ἔκδοσις ὑπὸ F. H a l k i n, Τόμος Β', 1957, 5—6. Ἀριθ. 868—869.

H. G. Beck, Kirche und theologische Literatur im byzantinischen Reich, 1959, 507.

Τὰ κείμενα τῶν βίων : τὸ μὲν ἑλληνικὸν τῆς παραλλαγῆς α ἐν P(atrologia) G(raeca) Τόμ. 114, στ. 568—581 οὗ ἡ ἀρχή : Βίον καλὸν καὶ ἐνάρετον καὶ ἀμόλυντον (Λατινικὴ μετάφρασις τούτου ἐν P. G. ἔνθ' ἀν., ἐν An(alecta) Bol(landiana) 15 (1896) 257—267 καὶ ἐν A(cta) S(anctorum) I, 1034—1038, τὸ δὲ λατινικὸν κείμενον τῆς παραλλαγῆς β ἐν A. SS, I, 1031—1035 (τοῦ ἑλληνικοῦ κειμένου ταύτης ἡ ἀρχή : T υ ρ α ν ν ι κ ό ν τ ι χ ρ ῆ μ α τ ε κ ό ν τ ω ν σ τ ο ρ γ ή κ α ί δ ε σ μ ὰ φ ύ σ ε ω ς ἄ φ υ κ τ α). Παράφρασις τῆς παραλλαγῆς ταύτης εἰς νεοελληνικὸν ἰδίωμα ἐδημοσιεύθη ὑπὸ Ἀ γ α π ί ο υ, Παράδεισος, τουτέστι λόγοι ἐκλελεγμένοι ἐκ τοῦ Μεταφραστοῦ Συμεῶνος . . . Βενετία (1641) 1863, σ. 287—294. Παράφρασις εἰς τὴν νεοελληνικὴν τῆς παραλλαγῆς α ὑπὸ Κ Δ ο υ κ ά κ η ἐδημοσιεύθη ἐν τῷ πολυτόμῳ «Μέγας Συναξαριστὴς πάντων τῶν ἁγίων», Τόμος Α' Ἰανουάριος, 1889, σ. 244—253, γενομένη ἐκ τοῦ κώδικος 101, (18 αἰ.) τοῦ Κυριακοῦ Ἁγίας Ἄννης τοῦ Ἁγίου Ὄρους (ἰδὲ Γ ε ρ α σ ί μ ο υ Μ ι κ ρ α γ ι α ν ν ί τ ο υ Κατάλογος χειρογράφων Κυριακοῦ Ἁγίας Ἄννης, Ε.Ε.Β.Σ. 29 (1959) σ, 183). Διὰ τὰς παραλλαγὰς ἰδὲ Ὁ. Λ α μ ψ ί δ ο υ, ἔνθ' ἀν. σ. 1—5.

ζουσα εἰς τὴν ἔναντι τῆς Κωνσταντινουπόλεως ἀσιατικὴν ἀκτήν, εἰς ἣν φθάνει τις διὰ πλοίου, καὶ εἰς περιοχὴν χαρακτηριζομένην «Ἄνω μέρη».

2) Τὸ ταξείδιον πρὸς τοὺς ἁγίους τόπους δὲν φαίνεται νὰ παρακωλύηται ἐκ τῆς παρουσίας ἐχθρῶν τοῦ χριστιανισμοῦ, ὡς θὰ εἶναι οἱ ἀπὸ τοῦ Μωάμεθ Ἄραβες.

3) Ἐν αὐτῇ ταύτῃ τῇ Κωνσταντινουπόλει ἡ καλύβη, εἰς ἣν ἔζησεν ἐπὶ ἔτη καὶ ἀπέθανε καὶ ἐτάφη ὁ ἅγιος, ἔχει μετατραπῆ εἰς ναόν, ἀναμφιβόλως μετοχίου τῆς κυρίας μονῆς τῶν Ἀκοιμήτων, μετὰ ξενῶνος.

4) Ὁ συγγραφεὺς τοῦ πρώτου βίου τοῦ ἡμετέρου ἁγίου δέον νὰ ἀναζητηθῇ εἰς τὸν κύκλον τῆς μονῆς τῶν Ἀκοιμήτων (1)

καὶ 5) ὁ πλήρης μυθιστορηματικῶν περιπετειῶν βίος τοῦ ἁγίου ἐνθυμίζει κατὰ πολὺ τὴν ἐπὶ τὴν συγγραφὴν παρομοίων κειμένων ἐπίδρασιν τῆς Ἀνατολῆς (Συρίας—Παλαιστίνης) (2).

2. Ὁ βίος Ἰωάννου τοῦ Καλυβίτου ὑπῆρξε λίαν εὐχάριστον καὶ ψυχωφελὲς ἀνάγνωσμα τόσον κατὰ τὴν βυζαντινὴν ὅσον καὶ τὴν μεταβυζαντινὴν περίοδον. Τοῦτο ἀποδεικνύει ὁ μέγας ἀριθμὸς τῶν περιεχόντων τοῦτον χειρογράφων κωδίκων, οἱ ὁποῖοι εἶναι ἐγκατεσπαρμένοι εἰς ὅλας τὰς βιβλιοθήκας, ὡς καὶ ἡ ἐπίδρασις τὴν ὁποίαν ἤσκησεν ὁ βίος οὗτος ἐπὶ τὴν συγγραφὴν καὶ ἄλλων ἁγιογραφικῶν κειμένων. Οὕτως ἔχει ἀποδειχθῆ ὅτι ὁ συγγραφεὺς τοῦ βίου τοῦ ἁγίου Ἀλεξίου, τοῦ ἀνθρώπου τοῦ Θεοῦ, ἐκ τῆς βιογραφίας τοῦ ἡμετέρου ἁγίου ἔλαβε τὸ ἐπεισόδιον τῆς ἐπιστροφῆς τοῦ ἁγίου Ἀλεξίου εἰς τὴν πατρίδα καὶ τῆς διαβιώσεως τούτου πρὸ τοῦ πατρικοῦ οἴκου.

3. Τὰ περὶ τοῦ ἁγίου Ἰωάννου τοῦ Καλυβίτου κείμενα περιλαμβάνονται εἰς τρεῖς κυρίας παραλλαγάς. Τῆς πρώτης μία μορφὴ ἐδημοσιεύθη ἐν τῇ Ἑλληνικῇ Πατρολογίᾳ τοῦ Migne, τῆς δευτέρας εἶναι γνωστὴ μόνον ἡ εἰς τὴν λατινικὴν μετάφρασις, τῆς δὲ τρίτης, ἐν νεοελληνικῇ γλώσσῃ καὶ ἐν κώδικι τοῦ 17ου αἰῶνος, εἶναι γνωστὴ μόνον ἡ ἀρχή. Ἀλλὰ καὶ ἑκάστης παραλλαγῆς—καὶ ἐνταῦθα ἔχομεν μό-

---

1) Διὰ τὰς σχέσεις τοῦ βίου Ἰωάννου τοῦ Καλυβίτου πρὸς τὰς βιογραφίας Ἀλεξίου, τοῦ ἀνθρώπου τοῦ Θεοῦ, ἰδὲ B. de Gaiffier, Intactam sponsam reliquens, A propos de la vie de Saint Alexis. An. Bol. 65 (1947) σ. 157 - 195.

Διὰ τὴν μονὴν τῶν Ἀκοιμήτων ἰδὲ ἐν R. Janin, Les églises et les monastères, 1953, σ. 20 - 21 καὶ 279 - 280. Πάντως τὰ ἐκεῖ λεγόμενα δέον νὰ συγκριθοῦν πρὸς τὰ ἐν τοῖς βίοις τοῦ ἡμετέρου ἁγίου γραφόμενα, ἰδίως ὅταν γνωρίζωμεν ὅτι οἱ βίοι οὗτοι εὑρίσκονται ἤδη εἰς κώδικας τοῦ 10ου αἰῶνος.

2) Ὁ κανὼν Ἰωσὴφ τοῦ Ὑμνογράφου εὑρίσκεται ἐν τῷ Μηναίῳ κατὰ τὴν 15ην Ἰανουαρίου. Ὁ Π. Τρεμπέλας (Ἐκλογὴ Ἑλληνικῆς Ὀρθοδόξου Ὑμνογραφίας, 1949, σ. 304-305) καταγράφει τοὺς ἐν ἐντύποις λειτουργικοῖς βιβλίοις κανόνας καὶ τροπάρια τοῦ Ἰωσήφ, ἀλλὰ παραλείπει τὸν κανόνα τοῦτον. Περὶ τοῦ ποιητοῦ Ἰωσὴφ ἰδὲ Beck, ἔνθ' ἀν. 601—602, ἔνθα καὶ βιβλιογραφία. Ὁ Ἰωσὴφ ἔζησε τὸν 9ον αἰῶνα (816—886) καὶ ἀπὸ τοῦ 867 ἦτο σκευοφύλαξ τῆς Μεγάλης Ἐκκλησίας. Ἡ ἐν τῷ κανόνι ἐπανάληψις τῶν αὐτῶν ὀλίγων στοιχείων (motifs) δηλοῖ ἀσφαλῶς πηγὴν χρησιμοποιηθεῖσαν καὶ περιέχουσαν μόνον ταῦτα. Διὰ τοῦτο ἡ πηγὴ αὕτη δέον νὰ ἀναζητηθῇ εἰς συναξαριακὰ κείμενα καὶ οὐδόλως εἰς τὰς ἤδη γνωστὰς παραλλαγὰς τοῦ βίου Ἰωάννου τοῦ Καλυβίτου. Πράγματι δὲν δυνάμεθα νὰ φαντασθῶμεν ὅτι ὁ ὑμνογράφος ἦτο δυνατὸν νὰ εἶχε πρὸ ὀφθαλμῶν στοιχεῖα ὡς π. χ. τὴν ἀνταλλαγὴν τῶν ἐνδυμάτων μετὰ τοῦ γέροντος ἐπαίτου καὶ νὰ μὴ ἐχρησιμοποίησε ταῦτα! Πάντως ὁ κανών, καὶ ὡς ἔχει, καὶ οἱ κώδικες τοῦ 10ου αἰῶνος, οἱ διασῴζοντες τὸν βίον, μαρτυροῦν ὅτι ἡ ἁγιογραφικὴ παράδοσις περὶ τοῦ ἡμετέρου ἁγίου δέον νὰ ἀνέλθῃ εἰς πρὸ τοῦ 9ου αἰῶνος χρόνους, πιθανώτατα εἰς τὰ τέλη τοῦ 6ου ἢ τὰς ἀρχὰς τοῦ 7ου αἰῶνος.

Διὰ τὰ Συναξαριακὰ κείμενα ἰδὲ Synax. Eccl. CP σ. 393 καὶ ἐν τῷ Μηνολογίῳ Βασιλείου ἐν P. G. 117.

νον τὴν πρώτην καὶ δευτέραν ὑπ' ὄψιν—τὰ κείμενα διαφέρουν τόσον, ὥστε δὲν εἶναι δυνατὴ ἡ ἔκδοσις ἑνὸς μόνον κειμένου, τὸ ὁποῖον εἰς κριτικὸν ὑπόμνημα θὰ ἠδύνατο νὰ περιλάβῃ πάσας τὰς μορφὰς τῆς αὐτῆς παραλλαγῆς. Τοῦτο ἀποδεικνύεται καὶ ἐκ τῆς μελέτης τῶν Παρισινῶν κωδίκων, τῶν ὁποίων ἐνίους ἐν φωτογραφίαις ἐλάβομεν ὑπ' ὄψιν διὰ τὴν παροῦσαν μελέτην (1).

4. Οἱ κώδικες οὗτοι εἶναι

Paris. gr. 513 (X. s) f. 261v—269
Paris. gr. 1556 (XV. s) f. 63—71v
Paris. Coislin. gr. 121 (1343) f. 71v—74 bis
Paris. gr. 789 (XI. s) f. 477—503
Paris. gr. 1448 (X. s) f. 135v—146
Paris. gr. 1464 (XII. s) f. 101—117
Paris. gr. 1472 (XI. s) f. 105—115v
Paris. gr. 1508 (XII. s) f. 147v—159
Paris. gr. 1536 (XI. s) f. 89—99
Paris. gr. 1449 (XI. s) f. 280—287

Βάσει τούτων ἐκδίδομεν κατωτέρω ὡς ἑξῆς:

1) Βάσει τοῦ Paris. 513 (P) ἐν συγκρίσει πρὸς τὸν Coisl. 121 (C) μορφὴν τῆς παραλλαγῆς α (868 ἐν B.H.G), ἡ ὁποία ἀπέχει ἱκανῶς τῆς ἐν τῇ P. G. περιεχομένης (2).

2) Βάσει τοῦ 1556 μορφὴν τῆς αὐτῆς παραλλαγῆς, ἡ ὁποία καὶ αὐτὴ ἀπέχει τοῦ ἐντύπου κειμένου.

3) Βάσει τοῦ 1449 βίον ἐν βραχείᾳ μορφῇ ὑπὸ τὸν τίτλον «ὑπομνήματα» (868 f).

4) Τὴν μέχρι τοῦδε ἀνέκδοτον παραλλαγὴν β τῆς ὁποίας μόνον ἡ εἰς τὴν λατινικὴν μετάφρασις ἦτο γνωστή (3). Ἡ ἔκδοσις ταύτης γίνεται βάσει τῶν 789 (P_2), 1448 (P_1), 1464 (P_3), 1472 (P_4), 1508 (P_5), 1532 (P_6), (869).

Ὁ χωρισμὸς εἰς παραγράφους τῶν διαφόρων κειμένων ἀκολουθεῖ τὰ ἤδη ἐκδεδόμενα κείμενα, τὸ δὲ κριτικὸν ὑπόμνημα περιλαμβάνει τὰς κυριωτέρας ἀναγνώσεις. Κατὰ τὴν ἔκδοσιν διορθώσαντες τὴν ὀρθὴν τῶν λέξεων γραφὴν καὶ στίξαντες τὸ κείμενον ἀπεφύγομεν μετὰ προσοχῆς νὰ ἐπιφέρωμεν οἱασδήποτε ἀλλαγὰς καὶ ὅτε ἀκόμη τὰ κείμενα ἐνόσουν κατὰ πολὺ ὡς πρὸς τὴν σύνταξιν. Ὅταν θὰ ἔχουν δημοσιευθῆ σχεδὸν ὅλοι οἱ μάρτυρες τῶν κειμένων τούτων, τότε θὰ ὑπάρξῃ δυνατότης κριτικῆς ἐκδόσεως Μέχρι τότε ὅμως ἡ γνῶσις καὶ ἡ δημοσίευσις τῶν ἐν λόγῳ κειμένων εἶναι ἀναγκαία καὶ ἀπαραίτητος, καὶ τὸ γεγονὸς τοῦτο ὤθησεν ἡμᾶς εἰς τὴν ἐργασίαν ταύτην.

---

1) Διὰ τοὺς κώδικας τοὺς περιέχοντας βίον Ἰωάννου τοῦ Καλυβίτου ἰδὲ ἐν Ehrhard, ἔνθ' ἀν., B.H.G. ἔνθ' ἀν. (Εἰς τὰς παραπομπὰς τῶν ἤδη δημοσιευθέντων δέον νὰ προστεθῇ ἡ μνεία τοῦ Ἀγαπίου, ἔνθ' ἀν. καὶ τοῦ Δουκάκη, ἔνθ. ἀν.).

Διὰ τοὺς Παρισινοὺς κώδικας ἰδὲ H. Omont, Catalogus codicum hagiogr. graec. bibliothecae nationalis Parisiensis, 1896.

2) Τὸ ἐν P. G. ἑλληνικὸν κείμενον ἐκδίδεται «ex mss Reg. 1632, 1556, Coisl. 121».

3) Τὸ ἑλληνικὸν κείμενον τῆς λατινικῆς μεταφράσεως ἀνῆκεν εἰς κώδικα τοῦ Βατικανοῦ.

ΚΕΙΜΕΝΑ Α'

Paris. 513, f. 261 v

Μηνὶ τῷ αὐτῷ ιε' (1).

Βίος καὶ Πολιτεία (2) ***Ἰωάννου μοναχοῦ τοῦ διὰ Χριστὸν Καλυβίτου.***

Κύριε εὐλόγησον (3).

Βίον καλὸν καὶ ἐνάρετον (1) *ἀνδρὸς δικαίου (f 262 r) καὶ τελείου* (2) *βούλομαι διηγήσασθαι τῇ ὑμῶν ὁμονοίᾳ, ὅστις γέγονεν ἐν τοῖς χρόνοις ἡμῶν. Καταφρονήσας* (3) *τῶν τοῦ βίου πραγμάτων, κατηξιώθη τῶν ἐπουρανίων ἀγαθῶν, διὰ τὴν ἄμετρον αὐτοῦ ὑπομονὴν καὶ* (4) *εἰς Χριστὸν πίστιν. Τὸ δὲ πρᾶγμα τοιοῦτον ἔχει τὸ διήγημα.*

Ἦν τις ἐν τῇ Ῥωμαίων πόλει (5) *ἀνὴρ πλούσιος σφόδρα, ὅστις* (6) *καὶ στρατηλάτου περιεβέβλητο ἀξίωμα, ὄνομα δὲ* (7) *τῷ ἀνδρὶ Εὐτρόπιος μετὰ Θεοδώρας τῆς αὐτοῦ συμβίου* (8)*, σεβόμενοι τὸν Θεὸν ἐκ νεότητος αὐτῶν. Εἶχον* (9) *δὲ υἱοὺς τρεῖς· καὶ τοὺς μὲν δύο περιβαλόντες* (10) *ἀξιώμασι μεγάλοις κατέλιπον, τὸν δὲ νεώτερον* (11)*, τουτέστι τὸν Ἰωάννην, περὶ οὗ ἡμῖν ὁ λόγος* (12)*, παρέδωκαν* (13) *εἰς διατριβήν. Καὶ μετὰ τὸ πληρῶσαι τὰ τῆς παιδείας γράμματα, παρέδωκαν αὐτῷ* (14) *τὰ* (15) *τῆς γραμματικῆς καὶ φιλοσοφίας καὶ ῥητορικῆς πράττειν βιβλία. Γενομένου δὲ αὐτοῦ δωδεκαέτους* (16) *καὶ σχεδὸν ἅπαντα* (17) *κατορθώσαντος, διὰ τὸ εἶναι αὐτὸν ἄξιον καὶ ἐλλόγιμον τῆς πίστεως* (18)*, πρὸ πάντων* (19) *ταῖς ἐκκλησίαις ἐσχόλαζεν, οὐδεμίαν δὲ ὥραν ἀφίστατο τῶν βιβλίων, ὥστε καὶ τοὺς γραμματικοὺς ἐκπλήττεσθαι ἐπὶ τῇ τοσαύτῃ* (20) *τοῦ νέου παραμονῇ.*

Ἐν μιᾷ δὲ (21) *τῶν ἡμερῶν ἀββᾶς τις τῶν ἄνω μερῶν τῆς ἁγίας* (22) *μονῆς τῶν ἐπιλεγομένων* (23) *Ἀκοιμήτων εὐχὴν εἶχε τοῦ παραγενέσθαι* (24) *εἰς τὰ Ἱεροσόλυμα καὶ* (25) *φθάσας* (26) *εἰς τὸν οἶκον, ὅπου ὁ Ἰωάννης ἐπαιδεύετο, παρεκάλεσεν* (27) *αὐτὸν οἰκῆσαι ἐν τῷ οἴκῳ, ἐν ᾧ ἐξενίζετο ὁ νέος εἰς τὴν μάθησιν. Θεωρήσας οὖν τὸ σχῆμα καὶ τὴν διαγωγὴν τῆς ἀσκήσεως*

Τίτλος.—1) Μηνὶ τῷ αὐτῷ ιε' om C. ***2) τοῦ ὁσίου πατρὸς ἡμῶν Ἰωάννου τοῦ Καλυβίτου*** C. ***3) Κύριε*** om C.

1) καὶ ἀμόλυντον add C. *2) καὶ τελείου* om C. *3) γὰρ* add C. *4) τὴν* add C. *5) Κωνσταντινουπόλει* C. *6) οὗτος καὶ τῷ τοῦ στρατηλάτου σχήματι περιεβέβλητο* C. *7) δὲ* om C. *8) μετὰ τῆς συμβίου αὐτοῦ Θεοδώρας* C. *9) ἔσχον* C. *10) περιέβαλον* C. *11) κατέλειπον δὲ τὸν νεώτερον* C. *12) περὶ οὗ ἡμῖν ὁ λόγος* om C. *13) καὶ παρέδ. αὐτὸν* C. *14) αὐτὸν* C. *15) τὰ περὶ τῆς ῥητορικῆς καὶ φιλοσοφικῆς ἀναγινώσκειν βιβλία* C. *16) χρόνου* add C. *17) πάντα* C. *18) ἐλλόγιμον τῆς πίστεως P εὐλογημένον* C. *19) πάντων δὲ* add C. *20) τοσαύτῃ* om C. *21) οὖν* C. *22) ἀσίας P ἁγίας* C. *23) λεγομένων* C. *24) ἀπελθεῖν* C. *25) εὔξασθαι εἰς τοὺς ἁγίους* add C. *26) Ἔφθασεν δὲ ὁ μοναχὸς* C. *27) καὶ παρακαλέσας τοὺς ἐν τῷ οἴκῳ ἐξενίζετο ἐκεῖσε τὴν μονὴν καταλύων. Τοῦ δὲ ἀββᾶ θεωρήσαντος τὸ σχῆμα καὶ τὴν καλὴν διαγωγὴν ὁ μακάριος Ἰωάννης καὶ πνεύματι ἁγίῳ πυρούμενος ἤρξατο . . .* C.

τοῦ ἀββᾶ ὁ μακαρίτης Ἰωάννης καὶ πνεύματος (262 v) ἁγίου πλησθεὶς ἤρξατο ἐρωτᾶν αὐτὸν λέγων : «Πόθεν εἶ καὶ ποῦ πορεύῃ καὶ ποῖος ὁ τρόπος τῆς ἀσκήσεως (1) τῆς μονῆς σου ;» Ἐρωτώμενος (2) δὲ ὁ ἀββᾶς παρὰ τοῦ παιδὸς πάντα τὸν βίον (3) καὶ τὸν κανόνα τῆς ἀσκήσεως ἀπήγγειλεν αὐτῷ καὶ (4) ὅτι «διὰ μικροψυχίαν τινὰ ἐξῆλθον τοῦ μοναστηρίου καὶ τὰ ἐνταῦθα κατέλαβον καὶ νῦν πορεύομαι εὔξασθαι εἰς τοὺς ἁγίους τόπους καὶ πάλιν ἐπανακάμψαι εἰς τὴν ἁγίαν μονήν».

Ταῦτα ἀκούσας ὁ Ἰωάννης (5) λαβόμενος τῆς χειρὸς αὐτοῦ ἔρχεται κατ' ἰδίαν καὶ ὅρκοις φρικωδεστάτοις τοῦτον κατησφαλίσατο ἐπὶ τὸ ἐκτελοῦντος αὐτοῦ (6) τὴν ὁδοιπορίαν πάλιν ἐπανακάμψαι πρὸς αὐτόν, ὀφείλοντα (7) καὶ αὐτὸν συμπαραλαβεῖν μεθ' ἑαυτοῦ εἰς τὴν ἁγίαν μονήν. Ἔλεγε γὰρ αὐτῷ ὁ Ἰωάννης : «Ἄκουσον, ἀββᾶ μου (8), καὶ συμπάθησόν μοι· οἱ γὰρ κύριοι οἱ γονεῖς μου πολὺ ποθήσαντές με ὑπὲρ τοὺς ἀδελφούς μου καὶ ὑπὲρ (9) πάντας τοὺς ἐν τῷ οἴκῳ ἡμῶν (10) διὰ πλειόνων γραμμάτων σοφιστικῶν παιδεύσαντές με (11) βούλονται ἐπὶ μεγάλην ἀξίαν με (12) ἀγαγεῖν· ὡς γὰρ λέγει ὁ κύριός μου καὶ (13) πατήρ μου, μείζονι (14) τῆς ἰδίας ἀξίας τῆς τοῦ στρατηλάτου (15) βούλεταί με ἐγκαταλέξαι, πάντως δὲ (16) μετὰ τοῦτο καὶ γάμῳ προσομιλῆσαι. Ἀλλ' ἐγώ, ποτὲ (17) μὲν ἐν τῇ ἁγίᾳ ἐκκλησίᾳ χαιρόμενος, ποτὲ δὲ καθ' ἑαυτὸν ἀναγικώσκων, ἔγνων ὅτι πάντα τὰ ἐν τῷ βίῳ (18) μάταιά (19) εἰσιν καὶ ὅτι μόνος ἄνθρωπος (20) ἐκεῖνος σῴζεται ὁ καταφρονήσας τῶν τοῦ βίου πραγμάτων καὶ δουλεύων τῷ Χριστῷ ἀκαταγνώστως (21) ἐν τῷ ὑπερτέρῳ σχήματι. Καὶ τούτου ἕνεκεν προσπίπτω σοι (22), κύριέ μου, ἐπὶ τὸ παραλαβεῖν σε κἀμὲ καὶ συγκαταλέξαι (263 r) τῇ ἁγίᾳ μονῇ». Ταῦτα ἀκούσας ὁ ἀββᾶς μεθ' ὅρκου συντίθεται αὐτῷ τὴν ἐπάνοδον ποιήσασθαι αὐτόθι καὶ (23) συμπαραλαμβάνειν αὐτόν (24).

Συνθέμενοι δὲ ἀλλήλοις καὶ συνταξάμενοι (25) ἕκαστος τὴν ἰδίαν ὁδὸν ἐπορεύθησαν. Ἐν δὲ τῷ ἀποδημῆσαι τὸν ἀββᾶν λέγει (26) ἐν ἑαυτῷ ὁ μακάριος Ἰωάννης (27) : «Τέως πρὸ πάντων ἀπελθὼν πρὸς τοὺς γονεῖς μου ζητήσω παρ' αὐτῶν εὐλογίαν, τουτέστι τὸ ἅγιον εὐαγγέλιον, δι' οὗ δυνήσομαι μαθεῖν τὰς παραδόσεις τοῦ Χριστοῦ (28) καὶ τὰ ἐνάρετα αὐτῷ (29) ἐπιτελεῖν (30).

---

1) τῆς μονῆς om C. 2) ἐπερωτώμενος C. 3) τὰ τοῦ βίου πράγματα C. 4) καὶ τὰ καθ' ἑαυτοῦ ἐδήλωσεν αὐτῷ ὁ ἀββᾶς εἰπὼν ὅτι διὰ μικροψυχίαν πορεύομαι εὔξασθαι καὶ προχωρῆσαι εἰς τοὺς ἁγίους τόπους καὶ πάλιν ὑποστρέψω εἰς τήν ἁγίαν μονὴν C. 5) καὶ add C. 6) τὸ ἐκτελέσαι αὐτόν C. 7) ὀφείλοντα παραλαβεῖν καὶ αὐτὸν μετ' αὐτοῦ C. 8) ἀββᾶ μου P μοι, πάτερ, C. 9) ὑπὲρ om C. 10) μου καὶ C. 11) παιδαγωγήσαντές με C παιδεύσαντές με βούλονται P. 12) με om C. 13) μου καὶ P ὁ C. 14) μείζων P C. 15) τῶν στρατηλατῶν C. 16) καὶ add C. 17) πρῶτον C. 18) τούτῳ add C. 19) καὶ κατώδυνα add C. 20) ὁ ἄνθρωπος C. 21) ἀκαταγνώστως ἐν τῷ ὑπερτέρῳ P ἐν τῷ ἡμετέρῳ C. 22) τοῦ λαβεῖν με, κύριέ μου, μετὰ σοῦ καὶ συγκαταλέξαι τῇ ἁγίᾳ ὑμῶν μονῇ C. 23) ἐπείσθη αὐτὸν καὶ τὴν ἐπάνοδον ποιεῖσθαι δι' αὐτοῦ ὀφείλοντα C. 24) μετ' αὐτοῦ add C αὐτῷ P. 25) ἑαυτοῖς add C. 26) εἶπεν C. 27) ὁ Ἰωάννης ὁ μακάριος C. 28) Κυρίου C. 29) ἐνάρετα αὐτῷ P ἀρεστὰ αὐτοῦ C. 30) ποιεῖν C.

1 Καὶ ἐλθὼν πρὸς τοὺς γονεῖς αὐτοῦ προφασίζεται λέγων (1) αὐτοῖς : «Οὐ δύναμαι ἀπελθεῖν εἰς τὴν διατριβήν· ἰδοὺ γὰρ ἅπαντες (2) οἱ παῖδες οἱ μανθάνοντες μετ' ἐμοῦ τὰ (3) γράμματα μετὰ τὸ πρᾶξαι (4) αὐτοὺς τὰ ἐν τῇ διατριβῇ (5) ἔχουσι παρ' αὐτοῖς (6) Εὐαγγέλια καὶ καθεζόμενοι ἀναγινώ-
5 σκουσι (7). Κἀγὼ οὕτως εἰμὶ ὡς εἷς τῶν μὴ ἐχόντων (8)· ἀλλὰ προσπίπτω ὑμῖν, κύριοί (9) μου, κἀμοὶ κελεύσατε (10) γενέσθαι Εὐαγγέλιον, ὅπως κἀγὼ ἔχων αὐτὸ ἐν ταῖς χερσί μου μανθάνω (11) αὐτό». Ἀκούσασα δὲ ἡ μήτηρ αὐτοῦ ἐχάρη (12) ὅτι οὕτω φιλοπόνως ἔχει περὶ τὴν μάθησιν καὶ εἰσελθοῦσα (13) λέγει τῷ ἀνδρὶ αὐτῆς : «Κύριέ μου, τοιοῦτον κατασκεύασόν μοι (14)
10 Εὐαγγέλιον καὶ δὸς τῷ τέκνῳ ἡμῶν, ὥστε μὴ μόνον τὰ ἔσωθεν (15) τοῦ Εὐαγγελίου εἰς πόθον αὐτὸν (16) ἐξεγείρειν, ἀλλὰ καὶ ἡ καλλονὴ τῆς κατασκευῆς (17) ἔξωθεν (18) εἰς μείζονα αὐτὸν πόθον προτρέψασθαι». Εὐθέως οὖν ὁ πατὴρ αὐτοῦ ἐκέλευσε κληθῆναι χρυσοχόον καὶ λέγει αὐτῷ : «Λάβε χρήματα ὅσα βούλῃ καὶ κατασκεύασον (19) Εὐαγγέλιον (20) τῷ τέκνῳ ἡμῶν».
15 Καὶ λαβὼν ὁ χρυσοχόος (263 v) πεντακόσια νομίσματα καὶ λίθους πολυτελεῖς (21) κατεσκεύασε τὸ Εὐαγγέλιον καὶ (22) δέδωκεν αὐτὸ (23) τῷ (24) Ἰωάννῃ. Καὶ λαβὼν αὐτὸ ὁ Ἰωάννης ἐβάσταζε (25) καὶ ἐξεμάνθανε (26) μετὰ πολλοῦ πόθου (27), προσδοκῶν (28) καὶ τὴν ἐπάνοδον τοῦ ἀββᾶ.

Ἡμερῶν δὲ διαγενομένων παραγίνεται ἐκ τῆς ὁδοιπορίας αὐτοῦ (29) ὁ
20 ἀββᾶς κατὰ τὴν συνταγὴν (30) τοῦ Ἰωάννου (31)· ἰδὼν δὲ αὐτὸν ὁ Ἰωάννης ἐχάρη σφόδρα καὶ ὑπαντήσας (32) περιεπτύξατο αὐτὸν μετὰ πολλῆς (33) εὐφροσύνης τῆς καρδίας αὐτοῦ καὶ λέγει αὐτῷ : «Κύριέ μου, τὰ σπλάχνα τῶν ἐμῶν γονέων καὶ τὸ φίλτρον τὸ εἰς ἐμὲ οὐδεὶς (34) ἀνθρώπων (35) ἐπίσταται ὡς ἐγὼ μόνος· οἶδα γὰρ μάλιστα τὴν γνησιωτάτην μου μητέρα (36) ὅτι, ἐὰν
25 μάθῃ τι τοιοῦτον (37), τοῖς δάκρυσιν αὐτῆς κόπτει (38) μου τὸν δρόμον τῆς προθέσεως, ἀλλά, παρακαλῶ σε, οὕτω (39) μετὰ ἡσυχίας ἀπέλθωμεν ὥστε μηδένα γνῶναι τῶν ἐμοὶ διαφερόντων». Λέγει αὐτῷ ὁ ἀββᾶς : «Ὡς βούλῃ (40), οὕτω ποιήσωμεν· τὴν γὰρ ἐπιθυμίαν σου πληροῖ Κύριος (41)». Καὶ παραλαβὼν αὐτὸν (42) ὁ Ἰωάννης ἔρχεται παρὰ (43) τὸν αἰγιαλὸν τῆς θα-

---

1) λέγων οὕτως τῇ μητρὶ αὐτοῦ : οὐ δύναμαι εἰς τὴν διατριβὴν ἀπέρχεσθαι C. 2) πάντες C. 3) τὰ om C. 4) πληρῶσαι C. 5) γράμματα add C. 6) παρ' αὐτοῖς om C. 7) αὐτὰ add C. 8) Γονεῖς, μὴ ἔχων Εὐαγγέλιον add C. 9) κυρία C. 10) κέλευσον C. 11) ἐκμάθω C. 12) ὅτι οὗτός ἐστιν φιλόπονος παρὰ τὴν μάθησιν τοῦ Χριστοῦ ἐχάρη C. 13) ἐλθοῦσα C. 14) μοι om C. 15) ἔσω C. 16) αὐτοῦ C. 17) αὐτοῦ add C. 18) ἔξωθεν ὅμοιον αὐτοῦ ἄλλο μὴ ἔστιν. Ἀκούσας δὲ ὁ πατὴρ αὐτοῦ τοῦτον τὸν λόγον παρὰ τῆς μητρὸς αὐτοῦ εὐθέως ἐκέλευσεν . . . C. 19) μοι add C. 20) ἵνα δώσω τῷ υἱῷ μου τῷ Ἰωάννῃ καὶ add C. 21) καὶ μαργαρίτας add C. 22) ἐπάρας αὐτὸ τὸ Εὐαγγέλιον ὁ πατὴρ αὐτοῦ add C. 23) ἐπέδωκεν αὐτῷ C. 24) υἱῷ αὐτοῦ τῷ add C. 25) αὐτὸ add C. 26) ἐμάνθανεν C. 27) καὶ πολλῆς προθυμίας τῆς ψυχῆς αὐτοῦ add C. 28) δὲ add C. 29) αὐτοῦ om C. 30) σύνταξιν C. 31) τοῦ Ἰωάννου om C. 32) ἀπαντήσας αὐτῷ C. 33) πολλῆς om C. 34) οὕτως add C. 35) ἀνθρώπων om C. 36) τῇ γνησίᾳ μου μητρὶ C. 37) τὸ πρᾶγμα τοῦτο C. 38) ἀνακόψει C. 39) ἵνα add C. 40) τέκνον add C. 41) ὁ Κύριος C. 42) παραλαβὼν οὖν αὐτῷ C. 43) ἐπὶ C.

λάσσης καὶ εὑρίσκει πλοῖον (1) καὶ λέγει τῷ ναυκλήρῳ : «Παρακαλοῦμέν σε, ἀδελφέ, ὅπως ἐκμισθώσῃ ἡμῖν (2) τὸ πλοῖον (3) σου καὶ διασώσῃς ἡμᾶς ἕως (4) τῶν ἄνω μερῶν τῆς ἁγίας μονῆς τῶν ἐπιλεγομένων Ἀκοιμήτων». Ὁ δὲ ναύκληρος (5) λέγει αὐτοῖς (6) : «Ἐγὼ εἰς τοῦτο κάθημαι τοῦ φορτῶσαι (7) τὸ πλοῖον καὶ γεμίσαι αὐτό (8)». Λέγει αὐτῷ ὁ Ἰωάννης : «Εἰπέ μοι, ἀδελφέ, πόσων νομισμάτων ἐστὶ τὸ φορτίον (9) τοῦ πλοίου (10), κἀγὼ ἐκμισθοῦμαι αὐτό (11)». Καὶ λέγει αὐτῷ (12) ὁ ναύκληρος : «Ἑκατὸν νομισμάτων ἐστὶ (264 r) τὸ φορτίον τοῦ πλοίου». Λέγει αὐτῷ ὁ Ἰωάννης : «Ἀνάμεινον, ἀδελφέ, εἴσω (13) τριῶν ἡμερῶν κἀγὼ ἐκμισθοῦμαι αὐτό». Καὶ συνθέμενοι αὐτῷ (14) ἀπῆλθον (15), καὶ λέγει τῷ ἀββᾷ κατ' ἰδίαν : «Ὁ μὲν μισθὸς τοῦ πλοίου πολύς, τὸ δὲ ἀναχωρῆσαί με ἐκ (16) τῶν γονέων μου καὶ μὴ κατασχεθῆναι (17) ὑπ' αὐτῶν πολλῶν (18) χρημάτων (19) κρεῖττόν ἐστιν· ἀπελθὼν οὖν λαλήσω τοῖς γονεῦσί (20) μου σχηματικῶς ὅπως δώσωσί (21) με χρήματα ἐπὶ τῷ (22) δοῦναι τῷ ναυκλήρῳ». Καὶ λέγει αὐτῷ ὁ ἀββᾶς : «Πορεύου, τέκνον, ὁ (23) Κύριος κατευθύνοι σου πᾶσαν βουλὴν (24) πρὸς τὸ θέλημα αὐτοῦ».

Καὶ ἀπελθὼν (25) ὁ Ἰωάννης λέγει τῇ μητρὶ αὐτοῦ : «Κυρία μου μήτηρ, ἢ καλῶς με (26) ἀναθρεψαμένη ἐξ ἀρχῆς, ὡς ὀλίγαι μητέρες ἀνέθρεψαν τὰ ἴδια τέκνα (27), διὰ τὸ ἄμετρόν σου φίλτρον τὸ εἰς ἐμὲ (28) πᾶσαν μου ἐπιθυμίαν ἐπλήρωσας (29). Καὶ νῦν (30) ἔτι μίαν αἴτησιν αἰτοῦμαι (31) παρ' ὑμῶν εἰς ἄμετρον (32) καύχημα». Ἡ (33) δὲ λέγει αὐτῷ (34) : «Αἴτησαι (35), τέκνον, ὅ (36) βούλῃ». Ὁ δὲ λέγει (37) : «Κυρία μου μήτηρ, πάντες οἱ παῖδες οἱ ἐν τῇ διατριβῇ οὐ μόνον ἅπαξ καὶ (38) δὶς (39) ἐκάλεσάν με εἰς ἑστίασιν, ἀλλὰ καὶ πολλάκις. Καὶ μὴ δυνάμενος τὰ ὅμοια αὐτοῖς ἐκτελέσαι (40) οὐδὲ εἰς τὴν διατριβὴν δύναμαι ἀπέρχεσθαι ὑπὸ τῆς διατροπῆς (41) ἁλισκόμενος». Ἡ δὲ λέγει αὐτῷ : «Μεῖνον (42) τέκνον, σήμερον, κἀγὼ λαλήσω τῷ πατρί σου ἐπὶ τῷ δοῦναί (43) σοι χρήματα εἰς (44) τὸ προτρέψασθαι (45) ὅσους (46) ἐὰν βούλῃ». Καὶ ἐλθόντος τοῦ ἀνδρὸς αὐτῆς διελέχθη αὐτῷ ἕκαστα, καθὼς ἤκουσε παρὰ τοῦ Ἰωάννου. Ὁ δὲ πατὴρ αὐτοῦ εἶπε (47) : «Δῶμεν (48) αὐτῷ ἑκατὸν χρυσίνους (49) καὶ παῖδα φύλακα μήπως εἰς κακὰ ἐκκλίνῃ καὶ ἀνα-

---

1) πλοιάριον C. 2) ἐκμισθώσῃς C. 3) πλοιάριον C. 4) ἕως om C. 5) ὁ δὲ ναύκληρος om C. 6) λέγει αὐτῷ C. 7) λαβεῖν φορτίον C. 8) καὶ γεμίσαι μου τὸ πλοῖον C. 9) φόρτωμα C. 10) σου add C. 11) ἐκμαθοῦμαι αὐτὸ C. 12) αὐτῷ om C. 13) ἴσως P ἕσω C. 14) Καὶ συνταξάμενοι ἀλλήλους C. 15) ἀπῆλθεν C. 16) ἀπὸ C. 17) μὲ add C. 18) πολὺ C. 19) χρημάτων om C. 20) τοὺς γονεῖς C. 21) δώσουσιν C. 22) τοῦ C. 23) γάρ add C. 24) ἀγαθὴν add C. 25) ἐλθὼν C. 26) μοι C. 27) τὰ ἴδια τέκνα ἀνέθρεψαν C. 28) καὶ add C. 29) πληρώσασα C. 30) καὶ νῦν om C. 31) αἰτοῦμεν C. 32) ἡμέτερον C. 33) ὁ C. 34) αὐτῷ om C. 35) αἴτησον C. 36) ἐὰν add C. 37) αὐτῇ add C. 38) ἢ C. 39) δεύτερον ἢ τρίτον C. 40) ἐκτελέσαι αὐτοῖς C. 41) ἐντροπῆς C. 42) ἀνάμεινον C. 43) κἀγὼ πείθω τὸν πατέρα σου δοῦναι C. 44) ἐπὶ C. 45) σοι add C. 46) ὃ ἐὰν C. 47) καὶ λέγει ὁ πατὴρ αὐτοῦ C. 48) δῶ C. 49) νομίσματα C.

λώσῃ αὐτὰ εἰς ῥυπαρὰς καὶ ἀκαίρους χρείας (1)». Καὶ ἔδοξεν ἀμφοτέροις (2) ἡ βουλὴ αὕτη καὶ καλέσαντες τὸν Ἰωάννην (3) ἔδωκαν (4) αὐτὸν τὰ χρήματα καὶ τὸν παῖδα (5) παραφύλακα (6). Λαβὼν δὲ ὁ Ἰωάννης τὰ ἑκατὸν χρύσινα (7) ἔρχεται πρὸς (264 v) τὸν ἀββᾶν μετὰ χαρᾶς ἔχων μεθ' ἑαυτοῦ (8) καὶ τὸν παῖδα καὶ (9) λέγει αὐτῷ (10) : «Κύριέ μου, οὗτος ὁ ἄνθρωπος ἐμός ἐστιν, κέλευσον αὐτὸν εἶναι ⟨αὐτὸν⟩ ἐνταῦθα (11), ἐγὼ δὲ ἀπέρχομαι πρὸς τοὺς ἑταίρους μου λαβεῖν παρ' αὐτῶν προθεσμίαν ὅπως αὐτοὺς ὑποδέξωμαι (12)». Καὶ λαβὼν (13) τὰ ἑκατὸν νομίσματα ἔρχεται πρὸς τὸν ναύκληρον καὶ λέγει αὐτῷ : «Παρακαλῶ σε, ἀδελφέ, ἵνα ἐμοὶ καὶ τῷ ἀδελφῷ (14) μόνοις (15) ἐκμισθώσῃς τὸ πλοῖον (16)». Λέγει αὐτῷ ὁ ναύκληρος (17) ὅτι «πολύς ἐστιν ὁ μισθὸς τοῦ πλοίου, ἐὰν δὲ ἐκδέξῃ, λαμβάνω ὑμᾶς μετὰ τοῦ φορτίου». Λέγει αὐτῷ ὁ Ἰωάννης : «Λάβε παρ' ἐμοῦ τὸν μισθόν σου (18), μόνον διάσῳσον ἡμᾶς (19)». Καὶ λαβὼν (20) τὰ ἑκατὸν νομίσματα ἔδωκεν αὐτῷ καὶ λέγει (21) : «Παρακαλῶ σε, ἀδελφέ, σκόπησον τὸν ἀέρα, ἐὰν ἔχῃς (22) ἐπιδέξιον ἄνεμον, τὸν ὀφείλοντα ἡμῖν συνεργῆσαι. Καὶ ἑστὼς ἐν τῷ πλοίῳ νεύματι μόνον (23) ἡμᾶς κάλεσον (24). Ὑφορώμεθα γάρ τινας καὶ θέλομεν φυγῇ (25) χρήσασθαι». Λαβὼν δὲ (26) ὁ ναύκληρος τὰ ἑκατὸν νομίσματα καὶ περιχαρὴς γενόμενος λέγει αὐτῷ : «Ἄπελθε (27), κύριέ μου νεανίσκε, ἐν εἰρήνῃ (28) κἀγὼ ὑμᾶς διασῴζω Θεοῦ (29) θέλοντος». Ἐλθὼν δὲ (30) ὁ Ἰωάννης διηγήσατο πάντα τῷ ἀββᾷ (31), κρύψας (32) ἀπὸ τοῦ παιδὸς τὸ (33) πρᾶγμα.

Ἡμερῶν δὲ διαγενομένων ἤρξατο ὁ Ἰωάννης λέγειν (34) : «Ἀπέλθωμεν παρὰ (35) τὸν αἰγιαλὸν τῆς θαλάσσης ὅτι ἐντὸς δύο ἡμερῶν ἡ δεξίωσίς μού (36) ἐστι. Καὶ χρείαν ἔχομεν καλῶν ἰχθύων (37)». Καὶ ἐλθόντων αὐτῶν παρὰ (38) τὸν αἰγιαλὸν τῆς θαλάσσης κελεύσει τοῦ Κυρίου (39) γίνεται (40) ἄνεμος ἐπιτήδειος. Καὶ ἤρξατο ὁ ναύκληρος ἑστὼς ἐν τῷ πλοίῳ νεύματι πυ (265 r) κνῶς (41) τούτους ἐγκαλεῖσθαι (42). Μὴ δυνάμενοι δὲ διαλαθεῖν τὸν παῖδα λέγουσιν αὐτῷ : «Ἄπελθε ἐν τῇ διατριβῇ καὶ σκόπησον τοὺς παῖδας τί πράττουσι. Καὶ ἐλθὼν εὑρήσεις ἡμᾶς ἐνταῦθα». Ἀπελθόντος δὲ αὐτοῦ (43) ἐμβάντες εἰς τὸ πλοῖον ἀπέπλευσαν. Καὶ διασωθέντες ἦλθον εἰς τὴν ἁγίαν μονήν. Καὶ διηγήσατο (44) ὁ ἀββᾶς τῷ ἀρχιμανδρίτῃ πᾶσαν τὴν ἀλήθειαν καὶ

1) παραφύλακα, μήπως ὡς παιδίον ἐκκλίνῃ καὶ εἰς ῥυπαρὰς χρείας καὶ ἀκαίρως ἀναλώσῃ αὐτὰ C. 2) αὐτοῖς C. 3) προσκαλεσάμενοι αὐτὸν οἱ γονεῖς αὐτοῦ C. 4) ἔδωκαν αὐτὸν P ἐπέδωκαν αὐτῷ C. 5) καὶ παῖδα C. 6) μήπως . . . παραφύλακα alt. man. scrib. in margine P. 7) νομίσματα C. 8) εἶχεν δὲ C. 9) καὶ om C. 10) τῷ ἀββᾷ ὁ Ἰωάννης C. 11) κέλευσον οὖν εἶναι ἐνταῦθα μετὰ σοῦ αὐτὸν C. 12) ὑποδέξωμαι αὐτοὺς C. 13) βαστάζων C. 14) ἐμὲ καὶ τὸν ἀδελφὸν C. 15) μόνοις om C. 16) σου add C. 17) ναύκληρος : εἶπόν σοι, ἀδελφέ, ὅτι ὁ μισθὸς τοῦ πλοίου βαρὺς ἐστιν, ἐὰν δὲ ἐκδέξασθε, λαμβάνω . . . C. 18) παρ' ἐμοὶ τὸν μισθὸν τοῦ πλοίου σου καὶ C. 19) τοῦ Θεοῦ θέλοντος add C. 20) ἐκβαλὼν C. 21) αὐτῷ add C. 22) ἔχῃ C. 23) μόνον om C. 24) προσκάλεσον C. 25) φυγὴν C. 26) οὖν C. 27) ἐλθὲ C. 28) ἐν εἰρήνῃ om C. 29) καὶ γὰρ ὑμᾶς διασῴσω τοῦ Θεοῦ C. 30) ἀπελθὼν οὖν. 31) τῷ ἀββᾷ πάντα τὰ περὶ τοῦ ναυκλήρου C. 32) δὲ add C. 33) καὶ τὸ C. 34) ὁ Ἰωάννης λέγειν P λέγειν ὁ Ἰωάννης τῷ ἀββᾷ C. 35) ἐπὶ C. 36) ἡ δεξίωσίς μου P δεξίωσίς μοι C. 37) ὀψαρίου καλοῦ C. 38) ἐπὶ C. 39) Θεοῦ C. 40) ἐγένετο C. 41) πυκνῶς om C. 42) αὐτοὺς προσκαλεῖσθαι C. 43) ἐν τῇ διατριβῇ εὐθέως ἐκεῖνοι add C. 44) Διηγήσατο δὲ C.

1 τὴν πίστιν (1) τοῦ (2) παιδός. Ἰδὼν δὲ αὐτὸν ὁ ἀρχιμανδρίτης λέγει (3) αὐτῷ : «Τέκνον, πολὺ νεώτερος εἶ καὶ ἔθος (4) ἐστὶν παρ' ἡμῖν τὸν θέλοντα ἀποτάξασθαι ἐν ἡμέραις τεσσαράκοντα ποιῆσαι παραμονὴν καὶ θεωρῆσαι τὸν κάματον τῆς ἀσκήσεως ἡμῶν, καὶ οὕτως ἀποκείρασθαι (5)». Λέγει
5 αὐτῷ ὁ Ἰωάννης : «Ὁρκίζω σε κατὰ τῆς ἀχράντου (6) Τριάδος καὶ τὰς εὐχὰς (7) τῆς ἁγίας μονῆς ἵνα σήμερόν με ἀποκείρῃς (8) ὅτι πολύς μοι πόθος ἐστὶ καὶ σπουδὴ φορέσαι (9) τὸ ἀγγελικὸν σχῆμα». Τότε εὐλογήσας (10) αὐτὸν ὁ ἀρχιμανδρίτης ἀπέθριξε (11) δεδωκὼς αὐτῷ καὶ τὸν στολισμόν. Αὐτὸς δὲ μετὰ σπουδῆς καὶ προθυμίας ἤσκει δεόμενος τοῦ Θεοῦ νυκτὸς καὶ ἡμέ
10 ρας (12) ἀκαταπαύστως. Ἐποίησε δὲ ἓξ ἔτη (13) ἐν τῇ μονῇ πάντας σχεδὸν (14) τοὺς ἐκεῖσε (15) ἐκδιδάξας τὸ πῶς δεῖ ταπεινοφρονεῖν καὶ εὔχεσθαι τῷ Θεῷ. Ἐπέθηκε δὲ ἑαυτῷ ἐγκράτειαν τοιαύτην ὡς μηδενὸς ἄλλου ἅπτεσθαι εἰμὴ μόνον τοῦ τιμίου σώματος καὶ αἵματος τοῦ Χριστοῦ, ὥστε θαυμάζειν τὸν ἀρχιμανδρίτην καὶ λέγειν ὅτι «παιδίον ὄντα πολὺν κόπον σεαυτῷ (16)
15 περιέθηκας καὶ οὐκ ἔχει σοι (17) αὐταρκῆσαι τὸ σῶμα πρὸς τὴν δοξολογίαν τοῦ Χριστοῦ (18). Διότι ἡ πολλὴ ἐγκράτεια καὶ (19) νηστεία (265 v) καταφθείρει τὰ σώματα (20)».

Ἰδὼν δὲ ὁ μισόκαλος διάβολος τὴν πολλὴν (21) αὐτοῦ σπουδὴν καὶ τὸν δρόμον τῆς προθέσεως ἐμάνη κατ' αὐτοῦ καὶ ἀγριωθεὶς (22) σφόδρα καὶ μὴ
20 δυνάμενος νικῆσαι τὸν γενναῖον αὐτοῦ λογισμὸν καὶ ἀποστῆσαι τῆς ἐλπίδος τοῦ Χριστοῦ, ἀνάμνησιν αὐτῷ ἐτίθει τῶν γονέων καὶ πόθον πολὺν περὶ αὐτῶν ἐνοχλεῖν αὐτῷ (23) καὶ τὴν προέλευσιν αὐτῶν καὶ τὴν τῶν παίδων ὑπηρεσίαν καὶ ἅπαξ ἁπλῶς (24) πᾶσαν τὴν τοῦ βίου ἀπάτην καὶ ματαιότητα ὑποτίθεσθαι αὐτῷ. Ὡς λοιπὸν ἐκ τῆς πολλῆς νηστείας καὶ ἀγρυπνίας καὶ τοῦ
25 πολλοῦ πόθου τῶν γονέων μὴ αὐταρκεῖν τὸ σῶμα αὐτοῦ, ἀλλὰ γενέσθαι αὐτὸ σκιὰ θανάτου (25). Ἰδὼν δὲ ὁ ἀρχιμανδρίτης ταπεινωθέντα αὐτὸν ὡς λοιπὸν μέλλειν αὐτὸν ἐξ ἀνθρώπων γενέσθαι λέγει (26) αὐτῷ : «Οὐκ εἴρηκά (27) σοι ὅτι ὁ Θεὸς τὸ (28) κατὰ δύναμιν ἀπαιτεῖ προσκυνεῖσθαι ὑπὸ τῶν δούλων αὐτοῦ, σὺ δὲ κατέτηξας σεαυτὸν (29) ὑπὲρ δύναμιν ἀσκήσας ;» Λέγει αὐτῷ ὁ Ἰωάννης :
30 «Δέομαί σου, πάτερ, οὐχ (30) ἡ νηστεία με δαμάζει, ἀλλ' αἱ ἁμαρτίαι μου πα-

---

1) καὶ τὴν πίστιν om C. 2) περὶ τοῦ C. 3) Καὶ προσκαλεσάμενος αὐτὸν ὁ ἀρχιμανδρίτης καὶ ἰδὼν αὐτὸν λέγει C. 4) ἔθος δὲ C. 5) ἀποκουρεύεσθαι C. 6) καὶ ἁγίας add C. 7) τῶν εὐχῶν C. 8) ἀποκουρεύσῃς C. 9) τοῦ φορέσαι C. 10) εὐλόγησεν C. 11) ἀπέθριξε τὴν κεφαλὴν αὐτοῦ C. 12) ἡμέρας καὶ νυκτὸς C. 13) ἔτη ἓξ C. 14) καὶ σχεδὸν πάντας C. 15) ἐκεῖ C. 16) ἑαυτῷ P. 17) Ἐπέθηκε δὲ ἑαυτῷ το ιαύτην ἐγκράτειαν ὑπερβάλλουσαν, ὥστε θαυμάζειν τὸν ἀρχιμανδρίτην καὶ πάντας τοὺς ἐν τῇ μονῇ ἀδελφοὺς καὶ λέγει αὐτῷ ὁ ἀρχιμανδρίτης ὅτι παιδίον ὑπάρχον πολὺν κόπον ἑαυτῷ παρέθηκας καὶ οὐκ ἔχει σου C. 18) Θεοῦ C. 19) καὶ ἡ C. 20) τὸ σῶμα C. 21) πολλὴν om C. 22) καὶ ἀγριωθεὶς om C. 23) ἀνάμνησιν ὑπέβαλεν αὐτῷ καὶ πόθον πολὺν περὶ τῶν γονέων αὐτοῦ, ὥστε νυκτὸς καὶ ἡμέρας ἐννοεῖν περὶ αὐτῶν C. 24) καὶ ἁπλῶς C. 25) τὴν πᾶσαν ὑπηρεσίαν τὴν τοῦ βίου καὶ ἀπάτην τε καὶ ματαιότητα, ὥστε λοιπὸν ἐκ τῆς πολλῆς νηστείας καὶ ἀγρυπνίας καὶ τοῦ πολλοῦ πόθου τῶν γονέων μὴ αὐταρκεῖν τὸ σῶμα αὐτοῦ, ἀλλὰ γενέσθαι αὐτὸν ὡς σκιὰν θανάτου C. 26) ὥστε αὐτὸν μέλλειν ἐξ ἀνθρώπων γίνεσθαι λέγει C. 27) εἶπον C. 28) τὰ C. 29) ἑαυτὸν P C. 30) οὐχὶ C.

ρέμποδοί μου (1) γίνονται. Ἔχω γὰρ σήμερον (2) ἡμέρας πολλάς, ἀφ' οὗ ὁ μισόκαλος διάβολος ἀνετάραξε τὴν καρδίαν μου πρὸς ἐπιθυμίαν κινήσας τοῦ θεωρῆσαί με τοὺς γονεῖς μου καὶ τὸν οἶκόν μου. Καὶ οὐκ οἶδεν ὁ ὀλέθριος οὗτος ὅτι τοῦ Θεοῦ μου θέλοντος καὶ τῶν ὑμετέρων εὐχῶν συναγωνιζομένων μοι κἀκεῖ ἀπελθὼν καὶ θεωρῶν (3) τοὺς γονεῖς μου πατήσω αὐτόν, καὶ πανταχοῦ ἀνίσχυρον καὶ μάταιον ἀναδείξω (4)». Λέγει αὐτῷ ὁ ἀρχιμανδρίτης: (266r) «Οὐκ εἶπόν σοι παρὰ τὴν ἀρχὴν ὅτι μέγας ἐστὶν ὁ ἀγὼν τῆς ἀσκήσεως καὶ ὁ κάματος πολύς;» Καὶ δακρύσας ἐπ' αὐτὸν (5) ηὐλόγησεν αὐτόν.

Τῇ οὖν (6) ἐπαύριον ἀναστὰς ὁ Ἰωάννης καὶ ἐλθὼν ἔπεσε πρὸς τοὺς πόδας αὐτοῦ λέγων μὴ ὀργισθῆναι (7) αὐτῷ, ἀλλ' ἐκθύμως εὔχεσθαι (8) ὑπὲρ (9) αὐτοῦ καὶ ἐπιτρέψαι αὐτῷ ἀπελθεῖν (10) καὶ θεωρῆσαι τοὺς γονεῖς αὐτοῦ καὶ τοῦ Χριστοῦ συνεργοῦντος (11) πατῆσαι τὸν διάβολον. Τότε ὁ ἀρχιμανδρίτης συναθροίσας πάντας τοὺς ἀδελφοὺς τοὺς ἐν τῇ μονῇ καὶ ποιήσας εὐχὴν ἐκτενῆ (12) ὑπὲρ αὐτοῦ μετὰ δακρύων καὶ στεναγμοῦ ἀμυθήτου (13) εἶπεν (14) αὐτῷ: «Πορεύου, τέκνον (15), ἐν ὀνόματι πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος (16) ἔχων συμπορευόμενόν σοι τὸν δεσπότην Χριστὸν καὶ ὁδηγοῦντά σε κατὰ τὸ αὐτοῦ θέλημα (17)». Τότε ἀναστὰς ὁ Ἰωάννης περιῆλθε πάντας (18) τοὺς ἐν τῇ μονῇ ἀδελφούς. Καὶ ποιήσαντες ἐκτενῆ εὐχὴν ὑπὲρ αὐτοῦ ἐξέτειναν τὰς χεῖρας εὐλογοῦντες (19) τὸν Θεὸν καὶ εὐχόμενοι αὐτόν. Καὶ οὕτως συνετάξατο αὐτοῖς λέγων: «Σῴζεσθε, ἀδελφοὶ καὶ πατέρες (20) πάντες. Σῴζου ἡ εὐλογημένη μου συνοδεία, ἡ καλῶς με ὑποδεξαμένη καὶ ἐν ταῖς εὐχαῖς ὑμῶν (21) ἀναθρεψαμένη· ἐγὼ ἀνάξιος ὑμῶν εἰμι πάντως καὶ τῆς σκέπης ὑμῶν (22)». Καὶ λαβὼν παράθεσιν παρά τε τοῦ ἀρχιμανδρίτου καὶ τῶν ἁγίων πατέρων (23) ἐξῆλθεν ἐκ τῆς μονῆς. Καὶ ἐλθὼν (24) ἀπὸ μικροῦ τῆς πύλης καὶ στραφεὶς καὶ ἰδὼν τὴν ἁγίαν μονὴν ἔκλαυσε πικρῶς καὶ θεὶς τὰ γόνατα ἐπὶ πολὺ (25) προσηύξατο καὶ οὕτω συνταξάμενος (26) τῇ περι (266v) οἰκιδι ἀνεχώρησε (27) κλαίων ἀκαταπαύστως. Καὶ ὁδεύων τὴν ὁδὸν αὐτοῦ (28) ὡς ἦλθεν ὁδοιπορήσας τὴν ἡμισείαν ὁδὸν καταλαμβάνει τινὰ πτωχὸν κατεστιγμένον ῥακοδυτοῦντα καὶ λέγει (29) αὐτῷ: «Χαίροις, ἀδελφὲ

---

1) δαμάζει μου τὸ σῶμα, ἀλλ' αἱ ἁμαρτίαι μου παρ' ἐμοῦ ἔμποδοί μου C. 2) σήμερον om C. 3) θεωρήσω C. 4) πατήσω καὶ ἀνίσχυρον αὐτὸν ἀποδείξω καὶ μάταιον C. 5) ὁ ἀρχιμανδρίτης καὶ κλαύσας καὶ στενάξας ἐν πολλῇ ἀθυμίᾳ add C. 6) δὲ C. 7) ἐλθὼν πρὸς τὸν ἀρχιμανδρίτην ἔπεσεν ἐπὶ τοὺς πόδας αὐτοῦ παρακαλῶν αὐτὸν μὴ ὀργισθῆναι C. 8) εὐθέως εὔξασθαι C. 9) περὶ C. 10) καὶ ἐπέστρεψεν ἀπελθεῖν αὐτὸν C. 11) καὶ οὕτως τοῦ Κυρίου ἐνεργοῦντος C. 12) πάντας τοὺς ἐν τῇ μονῇ ἀδελφοὺς καὶ ποιήσαντες ἐκτενῆ καὶ εὐχήν C. 13) στεναγμῶν ἀμυθήτων C. 14) εἰπὼν C. 15) τέκνον μου C. 16) τοῦ π. καὶ τοῦ υἱ. καὶ τοῦ ἁγ. C. 17) πρὸς τὸ θέλημα αὐτοῦ C. 18) ἅπαντας C. 19) καὶ ὑμνοῦντες add C. 20) πατέρες καὶ ἀδελφοὶ C. 21) ἐν ταῖς ἁγίαις ὑμῶν εὐχαῖς C. 22) ἐγὼ πάντως ἀνάξιός εἰμι ὑμῶν τῆς σκέπης C. 23) παρὰ τῶν ἁγίων πατέρων καὶ ὁσίων ἀνδρῶν C. 24) ἀπελθὼν C. 25) ἐπὶ τῆς γῆς C. ἐπὶ πολὺ P. 26) συνετάξατο C. 27) καὶ ἀνεχώρησεν C. 28) καὶ ὁδεύων τὴν ὁδὸν αὐτοῦ om C. 29) Ὡς δὲ ἦλθεν ὁδοιπορήσας τὴν ἡμισείαν ὁδὸν φθάνει τινα . . . καὶ ῥακώδη καὶ λέγει C.

καὶ συνοδοιπόρε, καὶ εἰ δοκεῖ σοι, ὁδεύσωμεν τὴν ὁδὸν ἅμα». Ὁ δὲ λέγει αὐτῷ: «Χάριν ἔχω (1)». Ὁδευόντων δὲ αὐτῶν λέγει αὐτῷ ὁ Ἰωάννης: «Ὁρῶ σε, ἀδελφέ, κατεστιγμένον καὶ μὴ δυνάμενον βαστάσαι τὰ προκείμενά (2) σοι ἱμάτια· ἀλλὰ παρακαλῶ σε καὶ προσπίπτω (3) ἀποδυσάμενος λάβε τὴν ἐμὴν ἐσθῆτα, κἀγὼ ἐνδύσομαι τὰ σὰ ἱμάτια καὶ οὕτω προθύμως ὁδεύσωμεν». Εὐθέως δὲ ὁ πτωχὸς μετὰ χαρᾶς (4) ἀποδυσάμενος ἤλλαξεν ἑαυτῷ λαβὼν τὰ ἐκείνου ἱμάτια (5). Καὶ ὁδεύσαντες κοινῶς τόπον τινὰ συνταξάμενοι ἀλλήλοις (6) ἕκαστος τὴν ἰδίαν ὁδὸν ἐπορεύθησαν. Ὡς δὲ ἦλθεν ὁ Ἰωάννης ἀπέναντι τῆς οἰκίας τῶν γονέων αὐτοῦ, ἔῤῥιψεν ἑαυτὸν ἐπὶ πρόσωπον ἐπὶ τὴν γῆν καὶ προσηύξατο πρὸς Κύριον, λέγων: «Κύριε Ἰησοῦ Χριστέ, μὴ ἐγκαταλίπῃς με». Καὶ ἐλθὼν ἐπὶ τὴν πύλην τῶν γονέων αὐτοῦ ἐν ἑσπέρᾳ βαθείᾳ, ἔῤῥιψεν (7) ἑαυτὸν εἰς τὸ ἔδαφος κλαίων καὶ εὐχόμενος ὅλην τὴν νύκτα (8) καὶ λέγων: «Κύριε Ἰησοῦ Χριστέ, καὶ τὸν ἐπίγειον γονικόν μου οἶκον (9) ἔδειξάς μοι καὶ τῆς σῆς ἀγαθότητος μὴ ἐκπέσω, ἀλλὰ δός μοι τελείως νικήσαντα (10) τὸν διάβολον τελειωθῆναι (11) ἐν τῷ τόπῳ τούτῳ καὶ μὴ ἐάσῃς με πειρασθῆναι ὑπ' αὐτοῦ». Καὶ ἔμεινεν ἐκεῖ ἕως πρωί.

Ὅτε δὲ ὁ ὄρθρος παρεγένετο (12), ἠνοίχθη (267 r) κατὰ τὸ εἰωθὸς (13) ὁ πυλὼν ὡς ὀφειλόντων τῶν γονέων αὐτοῦ προέλευσιν (14) ποιήσασθαι. Ἐλθὼν (15) δὲ ὁ ἐπὶ τῆς οἰκίας, βλέπει αὐτὸν κατεστιγμένον καὶ ῥακοδυτοῦντα (16) καὶ λέγει αὐτῷ: «Τίς εἶ, ἄνθρωπε, καὶ (17) πῶς ἐτόλμησας ἐνταῦθα εἰσελθεῖν; Ἀλλὰ δός σὺ τόπον ὅτι ὁ κύριός μου εἰς προέλευσιν ἐξέρχεται (18)». Λέγει αὐτῷ ὁ Ἰωάννης: «Ἐγώ (19), ἀδελφέ, ἄνθρωπός εἰμι πτωχός, ἀλλὰ ποίησον μετ' ἐμοῦ ἔλεος καὶ ἔασόν με ἐν τῇ γωνίᾳ ταύτῃ εἶναι (20) μηδέν μου ἀδικοῦντος, προσδοκῶν τὸν μισθὸν λήψεσθαι (21) παρὰ τοῦ δεσπότου Χριστοῦ, ὅτι ἐσώθη ὁ πτωχὸς (22) ὑπὸ τὸν πυλῶνα τοῦτον». Συμπαθήσας δὲ αὐτῷ ὁ ἐπὶ τῆς οἰκίας κατέλιπεν αὐτὸν ἐκεῖ (23). Ἐξελθόντων δὲ τῶν γονέων αὐτοῦ ὁρᾷ αὐτοὺς ὁ Ἰωάννης καὶ σχεδὸν ὅλον τὸ πρόσωπον (24) αὐτοῦ ἐπληρώθη δακρύων. Καὶ λέγει ἐν ἑαυτῷ: «Ἰδοὺ καὶ τοὺς γονεῖς μου ἐθεώρησα τῇ βουλήσει τοῦ Χριστοῦ καὶ τὰ κέντρα σου τὰ πεπυρωμένα καταπατήσω τῇ δυνάμει τοῦ Θεοῦ μου, ὦ μισόκαλε διάβολε. Κύριε (25) Ἰησοῦ Χριστέ, μὴ ἐγκαταλίπῃς με». Καὶ ἔμεινεν ἐν τῇ γωνίᾳ ἐκείνῃ ἐνιαυτὸν ἕνα (26). Ἤρξατο δὲ ὁ πατὴρ αὐτοῦ ἀποστέλλειν αὐτῷ τροφήν (27) λέγων: «Οὕτω

---

1) ἕνεκεν τούτου add C. 2) περικείμενα C. 3) καὶ προσπίπτω om C. 4) μετὰ χαρᾶς om C. 5) ἤλλαξεν τὰ ἱμάτια αὐτοῦ λαβὼν δὴ τὰ ἐκείνου στόλια C. 6) ὁδεύσαντες κοινὴν ὁδὸν συνταξάμενοι ἀλλήλους C. 7) παρὰ τὴν πύλην ῥίπτει C. 8) ὅλην τὴν νύκτα om C. 9) οἶκον γονέων μου C. 10) νικῆσαι C. 11) καὶ τελειωθῆναι C. 12) ἐγένετο C. 13) ἔθος C. 14) προσέλευσιν C. 15) ἐξελθὼν C. 16) ῥακώδη C. 17) καὶ om C. 18) ἐτόλμησας τοιοῦτος ὢν ἐνταῦθα ἐλθεῖν; Δὸς σὺ τόπον ὅτι οἱ κύριοι προσελθεῖν θέλουσιν C. 19) δέομαι σου, ἐγὼ C. 20) εἶναι om C. 21) ὡς προσδοκῶν λήψεσθαι μισθὸν C. 22) ὁ πτωχὸς ἐσώθη C. 23) ἐκεῖ om C. 24) τὸ σῶμα C. 25) λέγει οὕτος: «Κύριε, καὶ τοὺς γονεῖς μου ἐθεασάμην καὶ τὰ κέντρα τοῦ διαβόλου συνέτριψα, Κύριε C. 26) ἐνιαυτοὺς τρεῖς C. 27) ἀπὸ τῆς τραπέζης αὐτοῦ add C.

1 πονεῖ μοι ὑπὲρ (1) τοῦ πτωχοῦ τούτου, ὅτι ἐν τοιούτῳ χειμῶνι καὶ παγετῷ οὕτω προσκαρτερεῖ τῷ (2) πυλῶνι. Δυνατός ἐστιν ὁ Θεὸς δ' αὐτοῦ σῶσαι καὶ ἡμᾶς. Πάντως γὰρ διὰ τοῦτο ἀπεστάλη, ἵνα καὶ ἡμεῖς δι' αὐτοῦ σωθῶμεν (3)». Ἐξελθοῦσα δὲ ἡ μήτηρ αὐτοῦ, εἶδεν αὐτὸν καὶ σχεδὸν ἔκπληκτος
5 ἐγένετο διὰ τὸ ἐν τοιούτῳ τόπῳ αὐτὸν εἶναι (4). Καὶ λέγει τοῖς παισίν (5): «Σύρατε (6) αὐ (267 v) τὸν ἔνθεν ὅτι τούτου ὧδε κειμένου οὐ δύναμαι διέρχεσθαι (7)». Εὐθέως δὲ οἱ παῖδες ἔσυραν αὐτὸν παρὰ μίαν. Ἐξελθὼν δὲ ἀπὸ μικροῦ τῆς πύλης, ἦν ἐκεῖ παραμένων καὶ μὴ ἀναχωρῶν. Ἐξελθὼν δὲ ὁ ἐπὶ τῆς οἰκίας λέγει αὐτῷ: «Ἄπελθε, σὺ ἄνθρωπε (8), διὰ τὸ τὴν κυρίαν
10 ἡμῶν μὴ (9) δύνασθαί σε ὁρᾶν». Λέγει οὖν (10) αὐτῷ ὁ Ἰωάννης: «Δέομαί σου, κύριέ μου, ὡς ἐξ ἀρχῆς καὶ νῦν ποίησον μετ' ἐμοῦ (11). Κτίσον μοι (12) ὧδε μικρὰν (13) καλύβην πρὸς τὸ ὑπομένειν με τὸν παγετὸν καὶ μὴ ὁρᾶσθαι ὑπὸ τῆς κυρίας ὑμῶν». Μηδὲν (14) ἀμελήσας ὁ ἐπὶ τῆς οἰκίας ἐποίησεν αὐτῷ τὴν σκηνήν (15). Καθ' ἑκάστην δὲ ὁ πατὴρ αὐτοῦ ἐκ τῆς τραπέζης αὐτοῦ
15 ἔπεμπεν αὐτῷ τὴν τροφὴν αὐτοῦ (16). Ὁ δὲ τὰ ἀποστελλόμενα αὐτῷ (17) τοῖς πτωχοῖς ἐδίδου. Αὐτὸς δὲ οὔτε (18) ἤσθιεν οὔτε (19) ἔπινεν ἐξ αὐτῶν (20), ὥστε τοὺς πτωχοὺς προστρέχειν αὐτῷ. Καὶ τοσοῦτον ἐταπείνου τὸ σῶμα, ὥστε φαίνεσθαι τὰς ἁρμονίας τῶν ὀστέων αὐτοῦ καὶ ἀριθμεῖσθαι ἀπὸ τῆς πολλῆς ἐγκρατείας καὶ κακουχίας (21).

20 Μετὰ δὲ τριετῆ χρόνον ἰδὼν ὁ δεσπότης Χριστὸς τὸν πολὺν αὐτοῦ κόπον (22) καὶ ὅτι οὗτος (23) τέλειος ἀσκητής ἐστι (24) παρίσταται αὐτῷ ἐν ὁράματι τῆς νυκτὸς καὶ λέγει αὐτῷ: «Χαίροις, Ἰωάννη, ἀνεδείχθης παρθένος καὶ καταλιπὼν (25) πάντα ἐμοὶ ἠκολούθησας. Πεπλήρωται ὁ καιρὸς τῆς ἀσκήσεώς σου καὶ ὁ κάματος τῶν πόνων σου· μετὰ γὰρ ἡμέρας τρεῖς ἔρχῃ (26)
25 πρός με ἐν τῇ ἀναπαύσει τῶν δικαίων (27) μου». Καὶ διυπνισθεὶς ὁ Ἰωάννης (28) ἤρξατο κλαίειν καὶ εὔχεσθαι πρὸς Κύριον καὶ λέγειν (29): «Εὐχαριστῶ σοι, Κύριε (30), ὅτι κἀμὲ (268 r) ἀνάξιον ὄντα κατηξίωσας τάξαι (31) μετὰ τῶν δικαίων (32) σου. Ἀλλὰ δέομαι (33), Κύριε, μνήσθητι τῶν ἐμῶν γονέων (34) καὶ οἰκτίρησον αὐτούς, μὴ λογιζόμενος αὐτοῖς τὰς ἁμαρτίας αὐ-

---

1) πῶς πονεῖ μοι περὶ C. 2) ἐν τῷ C. 3) Πάντως γὰρ διὰ τοῦτο ἀπεστάλη, ἵνα καὶ ἡμεῖς δι' αὐτοῦ σωθῶμεν om C. 4) διὰ τὸ ὡς ἅγιον αὐτὸν ὑπάρχειν C. 5) αὐτῆς add C. 6) σύρεσθαι C. 7) προέρχεσθαι C. 8) ἔνθεν add C. 9) οὐ C. 10) οὖν om C. 11) ἔλεος add C. 12) καὶ ποίησόν μοι C. 13) μικρὴν C. 14) μηδὲν δὲ C. 15) καλύβην C. 16) ὁ δὲ πατὴρ αὐτοῦ καθ' ἑκάστην ἡμέραν ἀπέστελλεν αὐτοῦ ἐκ τῆς τραπέζης αὐτοῦ τροφὴν C. 17) αὐτῷ om C. 18) οὐκ C. 19) οὐδὲ C. 20) ἐξ αὐτῶν om C. 21) ὥστε πολλοὺς ἔρχεσθαι καὶ προστρέχειν τοῦ βλέπειν αὐτόν. Ἐκ γὰρ τῆς πολλῆς ἐγκρατείας καὶ κακουχίας κεκόλληνται ἡ σὰρξ αὐτοῦ, ὥστε φαίνεσθαι αἱ ἁρμονίαι τῶν ὀστέων αὐτοῦ C. 22) τὸν ἑαυτοῦ κόπον C. 23) ὄντως C. 24) ἦν C. 25) Ἰωάννης, ὄντως κατὰ τὸ ὄνομά σου ἀνεδείχθης Ἰωάννης καὶ παρθένος καταλιπὼν γὰρ C. 26) ἔρχεσαι C. 27) ἁγίων C. 28) Διυπνισθεὶς δὲ ὁ μακάριος C. 29) ἤρξατο παρακαλεῖν καὶ εὔχεσθαι καὶ λέγειν πρὸς Κύριον C. 30) ὁ Θεός μου add C. 31) τάξαι om C. 32) ἁγίων C. 33) σου add C. 34) τῶν γεννησάντων με add C.

1 τῶν· ἐξάλειψον τὸ χειρόγραφον τῶν ἁμαρτιῶν αὐτῶν ὅτι σὺ εἶ μόνος εὔσπλαχνος καὶ ἐλεήμων Θεός (1)». Καὶ πληρώσας τὴν εὐχὴν αὐτοῦ (2) μετεκαλέσατο τὸν ἐπὶ τῆς οἰκίας (3) καὶ λέγει αὐτῷ : «Ὡς ἀπ' ἀρχῆς ἐποίησας μετ' ἐμοῦ ἔλεος (4), καὶ νῦν παρακαλῶ σε πρὸς τὴν κυρίαν ὑμῶν διακονῆ-
5 σαί μοι». Ὁ δὲ λέγει αὐτῷ: «Εἰπὲ τί βούλῃ (5) κἀγὼ αὐτῇ ἀναφέρω». Λέγει αὐτῷ ὁ Ἰωάννης : «Εἰσελθὼν εἰπὲ αὐτῇ (6) ὅτι ὁ πτωχὸς ὁ πρὸς τὴν πύλην σου κείμενος, ὃν ἐκέλευσας ἀποδιωχθῆναι (7), παρακαλεῖ δι' ἐμοῦ λέγων «μὴ ὑπερηφανήσῃς τὸν πτωχὸν καὶ πένητα διὰ τὸν δεσπότην (8) Χριστόν, ἀλλὰ ἀνεξικάκως καταξίωσον σκυλῆναι (9) ἔχοντός μού τι λαλῆσαι
10 πρὸς σέ». Εἰσελθὼν δὲ ὁ ἐπιτεταγμένος (10) ἀπήγγειλεν αὐτῇ καθὼς (11) ἤκουσε παρὰ τοῦ (12) Ἰωάννου. Ἡ δὲ λέγει αὐτῷ : «Ἄρα τί ἔστιν (13) ὃ ἔχει μοι εἰπεῖν ὁ πτωχὸς οὗτος, μὴ δυναμένης μου παραστῆναι αὐτῷ ἢ θεωρῆσαι ;» Εἰσελθοῦσα δὲ ἀπήγγειλε ταῦτα τῷ ἀνδρὶ αὐτῆς. Ὁ δ' ἔλεγεν αὐτῇ (14) : «Ἄπελθε, κυρία, καὶ μὴ ὑπερηφανήσῃς (15) τοὺς γὰρ πτωχοὺς ἐξελέξατο ὁ
15 Θεός». Ἡ δὲ ὑπερέθετο τοῦ μὴ ἀπελθεῖν (16). Πάλιν οὖν ἐδήλωσεν αὐτῇ ὁ Ἰωάννης (17) ὅτι «μετὰ τρεῖς ἡμέρας ἀποθνῄσκω· ἐὰν οὖν μὴ ἔλθῃς καὶ ἴδῃς με μετανοῆσαι ἔχεις». Ἡ δ' (18) ἀκούσασα περὶ τοῦ θανάτου αὐτοῦ ἐξῆλθε καὶ λέγει τοῖς παισίν (19) : «Φέρετε (20) αὐτὸν ἐνταῦθα».

Ἐναχθεὶς δὲ ὑπὸ τῶν παίδων ἦν κατακεκαλυμμέ (268 v) νος καὶ ἀγνώ-
20 ριστος καὶ λέγει αὐτῇ (21) : «Κυρία μου, ὁ μισθός σου πεπλήρωται καθὼς εἶπεν ὁ Κύριος ἐν (22) Εὐαγγελίοις, ὅτι ἐφ' ὅσον (23) ἑνὶ τούτων τῶν ἐλαχίστων (24) ἐποιήσατε, ἐμοὶ ἐποιήσατε· ἀλλ' ὡς πένης καὶ μηδὲν ἔχων εὐλογίαν (25) σοι θέλω καταλιπεῖν. Ὅρκῳ οὖν πίστωσόν με περὶ οὗ (26) μέλλω σοι λέγειν καὶ οὕτω λαμβάνεις τὴν εὐλογίαν». Ἡ δὲ διεβεβαιώσατο αὐτῷ (27) ὅτι τὰ
25 λεγόμενά μοι παρὰ σοῦ φυλάττω (28). Καὶ λέγει αὐτῇ : «Τὸν αὐτὸν ὅρκον ὃν διεβεβαιώσω μοι μὴ κελεύσῃς (29) με ὑπὸ ἄλλων ἱματίων ἐνταφιασθῆναι πλὴν ὧν φορῶ καὶ ἐν τῷ τόπῳ τούτῳ, ἔνθα (30) ἐστὶν ἡ καλύβη μου, ἐν-

---

1) ὅτι μόνος εὔσπλαγχνος καὶ ἐλεήμων ὑπάρχεις Θεὸς C. 2) αὐτοῦ om C. 3) ἐν τῇ οἰκίᾳ C. 4) Ὡς ἐξ ἀρχῆς ἐποίησας ἔλεος μετ' ἐμοῦ μέχρι τῆς ὥρας ταύτης C. 5) παρακαλῶ σε μίαν ἀπόκρισίν μοι διακονῆσαι πρὸς τὴν κυρίαν ὑμῶν. Ὁ δὲ λέγει : «εἰπὲ ὅ,τι βούλῃ C. 6) εἴσελθε, εἰπὲ τῇ κυρίᾳ σου C. 7) καὶ συρθῆναι ὑπὸ τῶν δούλων σου add C. 8) πένητα ἀποβλέπουσα εἰς τὸν δεσπότην C. 9) πρὸς μὲ ἐλθεῖν C. 10) ὁ ἐπὶ τῆς οἰκίας C. 11) ἃ C. 12) τοῦ om C. 13) Ἄρα τί ἔχει εἶναι C. 14) δυναμένης μου στῆναι ἢ θεωρῆσαι αὐτόν». Καὶ εἰσελθοῦσα ἀπήγγειλεν τῷ ἀνδρὶ αὐτῆς πάντα. Καὶ ἀκούσας τοὺς λόγους τούτους ὁ πατὴρ αὐτοῦ λέγει αὐτῇ C. 15) ἰδεῖν αὐτὸν add C. 16) τοὺς γάρ . . . ἀπελθεῖν om C. 17) ἐκ δευτέρου C. 18) ἀποθνῄσκω καὶ ἐὰν ἔλθῃς ἰδεῖν με οὐ μὴ ἀπολέσῃς τὸν μισθόν σου, ἐὰν δὲ μὴ ἔλθῃς καὶ ἀποθάνω μετανοήσει ἔχεις. Ἡ δὲ C. 19) αὐτῆς add C. 20) μοι add C. 21) ὑπὸ τῶν παίδων καὶ κατακαλυψάμενος καὶ ἀναγνώριστος ὢν λέγει πρὸς αὐτὴν C. 22) τοῖς add C. 23) ἐφ' ὅσον om C. 24) τῶν ἀδελφῶν μου τῶν μικρῶν τῶν ἐλαχίστων C. 25) πένης καὶ ἐλάχιστος τῶν μικρῶν μίαν εὐλογίαν C. 26) ὧν C. 27) τὴν εὐλογίαν, ἣν μέλλω σοι δίδειν. Ἡ δὲ ὤμοσεν καὶ εἶπεν αὐτῷ C. 28) φυλάξω C. 29) Ὁμοσάσης δὲ αὐτῆς λέγει ὁ Ἰωάννης. «Τὸν αὐτόν σοι ὅρκον ὃν ὤμοσάς μοι μὴ ἐάσῃς C. 30) ᾧ C.

1 ταῦθά με κέλευσον (1) ταφῆναι· ἀνάξιος γάρ εἰμι (2) ὑπὸ ἄλλων ἱματίων ἐνταφιασθῆναι ἢ ἐν ἑτέρῳ τόπῳ». Καὶ ταῦτα εἰπὼν ἔδωκεν αὐτῇ τὸ Εὐαγγέλιον (3). Καὶ λέγει πάλιν πρὸς αὐτήν (4) : «Εσται σοι τοῦτο τὸ Εὐαγγέλιον (5) ἐν τῷ βίῳ τούτῳ σύνδεσμος καὶ ἐν τῷ μέλλοντι αἰῶνι ἐφόδιόν σου
5 καὶ τοῦ κυροῦ». Δεξαμένη δὲ αὐτὸ ἔστρεφεν (6) ἔνθεν καὶ ἔνθεν λέγουσα : «Τί ὅμοιόν ἐστιν τὸ Εὐαγγέλιον τούτῳ (7) ὅπερ ποτὲ κατεσκεύασεν ὁ κύριός μου (8)». Καὶ εἰσδραμοῦσα ἔδειξεν αὐτῷ τῷ ἀνδρὶ αὐτῆς. Καὶ γνωρίσας αὐτὸ λέγει : «Ἀληθῶς (9) τοῦτό ἐστιν καὶ οὐκ ἔστιν ἄλλο· τοῦτο πόθεν αὐτῷ ; Αὐτὸς ὀφείλει (10) εἰδέναι ποῦ ἔστιν ὁ υἱὸς ἡμῶν Ἰωάννης (11)». Καὶ
10 ἀπελθόντες οἱ ἀμφότεροι (12) λέγουσιν αὐτῷ : «Ὁρκίζομέν σε κατὰ τῆς ἁγίας Τριάδος, ἵνα εἴπῃς ἡμῖν μετὰ ἀληθείας πόθεν σοι τοῦτο». Ὁ δὲ μηκέτι (13) φέρων τὴν συνοχὴν τῶν δακρύων λέγει αὐτοῖς (14) : «Ἐγὼ εἰμι Ἰωάννης, ὁ υἱὸς ὑμῶν (15), ἀλλὰ ποθήσας τὸν (269 r) Χριστὸν ἐφόρεσα τὸν ζυγὸν αὐτοῦ τὸν χρηστόν». Τότε ἐπέπεσον (16) ἐπὶ τὸν τράχηλον αὐτοῦ κλαίοντες
15 ἀπὸ ὥρας πρώτης ἕως ὥρας ἕκτης, ὥστε πάντας τοὺς ἐν τῇ οἰκίᾳ καὶ τοὺς (17) ἐν τῇ πόλει οἰκοῦντας κλαίειν μετ' αὐτῶν ἐπὶ τῇ ἀνευρεύσει (18) τοῦ ἰδίου (19) τέκνου.

Ἵνα δὲ μὴ (20) ἡ σεμνὴ πολιτεία αὐτοῦ (21) παροραθῇ ἐν πνεύματι τῷ λαλοῦντι ἐν ἑαυτῷ παρέδωκε τὴν ψυχήν (22). Τότε ἡ μήτηρ αὐτοῦ, ἐπιλαθομένη
20 τοῦ ὅρκου ἀπέδυσεν αὐτὸν τὰ ῥακώδη καὶ ἐνέδυσεν αὐτὸν χρυσᾶ ἱμάτια (23). Ἐνδυθέντος δὲ αὐτοῦ εὐθέως αὐτὴ παρελύθη. Ἐλθὼν δὲ ὁ πατὴρ αὐτοῦ εἰς ἀνάμνησιν λέγει : «Τὴν βουλὴν τοῦ τέκνου ἡμῶν κρατήσωμεν». Καὶ ἀποδυθέντος αὐτοῦ παραχρῆμα ἰάθη ἡ μήτηρ αὐτοῦ. Καὶ ἔθηκαν αὐτὸν ἐν τῇ καλύβῃ. Καὶ ἐποίησαν ἐκεῖ εὐκτήριον οἶκον. Καὶ πᾶσαν τὴν ὕπαρξιν αὐ-
25 τῶν κατέλειψαν τῷ εὐκτηρίῳ οἴκῳ καὶ πολλὰ δὲ χρήματα εἰς διακονίαν τῶν ξένων ἐγκαταλείψαντες καὶ αὐτοὶ ἐκοιμήθησαν ἐν εἰρήνῃ. Αὕτη ἐστὶν ἡ πολιτεία τοῦ Ἰωάννου. Οὗτος ὁ βίος τῆς ἀσκήσεως αὐτοῦ· οὕτως πατήσας τὸν διάβολον ἠξιώθη τοῦ βραβείου τῆς ἄνω κλήσεως. Ἐπιτελεῖται δὲ ἡ μνήμη αὐτοῦ μηνὶ Ἰανουαρίῳ ιε' βασιλεύοντος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ,
30 ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

1) κέλευσόν μοι C. 2) Ταφῆναι ὅτι ἀνάξιός εἰμι C. 3) ἢ τεθῆναι. Καὶ ταῦτα εἰπὼν ὁ Ἰωάννης ἔδειξεν αὐτῇ τὸ Εὐαγγέλιον C. 4) καὶ λέγει αὐτῇ C. 5) τὸ Εὐαγγέλιον om C. 6) ἐν τῷ βίῳ τούτῳ συνοδοιπόρον καὶ τοῦ μέλλοντός σοι δὲ καὶ τοῦ κυροῦ μου. Δεξαμένη δὲ αὐτὸ καὶ ἐγκυκλώσασα αὐτὸ C. 7) τοῦτο P om C. 8) ὁ ἀνήρ μου καὶ ἔδωκεν τῷ τέκνῳ ἡμῶν τῷ Ἰωάννῃ C. 9) ἀληθῶς om C. 10) τοῦτο αὐτὸς εἰ εὗρεν, οὗτος ὤφειλεν C. 11) ὁ Ἰωάννης add C. 12) οἱ ἀμφότεροι om C. 13) ἡμῖν τὴν ἀλήθειαν πόθεν τοῦτο τὸ Εὐαγγέλιον εὗρες. Ὁ δὲ μὴ C. 14) αὐτοῖς εἶπεν C. 15) ὑμῶν καὶ τὸ Εὐαγγέλιον τοῦτό ἐστιν τὸ δοθέν μοι ἐξ ὑμῶν C. 16) ἐφόρεσα τοῦτον τὸν ζυγόν. Τότε ἔπεσον C. 17) ἐν τῇ οἰκίᾳ καὶ τοὺς om C. 18) εὑρέσει C. 19) αὐτῶν add C. 20) μὴ om C. 21) σεμνὴ αὐτοῦ πολιτεία μὴ C. 22) πνεύματι τῷ λαλοῦν . . . ψυχὴν P ἐπ' αὐτῷ. Παρέδωκε δὲ τὴν ψυχὴν αὐτοῦ. Τότε C. 23) αὐτοῦ, ἐκ τῆς πολλῆς θλίψεως καὶ τοῦ στεναγμοῦ τῆς καρδίας αὐτῆς ἐπιλαθομένη τοῦ ὅρκου ὃν ὤμοσε αὐτῷ, ἀπέδυσεν αὐτὸν τὰ ῥακώδη ἱμάτια καὶ ἐνέδυσεν αὐτὸν χρυσίου σύστημα C.

Σημ. Σελ. 271 στίχ. 8 καὶ 14 πρβ. Ἰακ. 2, 5· στίχ. 21 πρβ. Ματ. 25, 40—41.

B'

Paris. *1556*, f. *63* r

Βίος καὶ πολιτεία τοῦ ὁσίου πατρὸς ἡμῶν Ἰωάννου τοῦ Καλυβίτου.

Βίον καλὸν καὶ ἀμόλυντον καὶ ἐνάρετον ἀνδρὸς δικαίου καὶ τελείου βούλομαι διηγήσασθαι τῇ ὑμῶν ὁμονοίᾳ, γεγονότα ἐν τοῖς χρόνοις ἡμῶν, ἀνδρὸς καταφρονήσαντος τῶν τοῦ βίου πραγμάτων καὶ ἀξιωθέντος τῶν ἐπουρανίων ἀγαθῶν διὰ τὴν ἄμετρον αὐτοῦ ὑπομονὴν καὶ τὴν εἰς Χριστὸν πίστιν. Ἔχει δὲ τοῦτον τὸν τρόπον.

Ἦν τις ἀνὴρ ἐν τῇ Ῥωμαίων πόλει πλούσιος σφόδρα, τὸ τοῦ στρατηλάτου ἀξίωμα περιβεβλημένος, τοὔνομα Εὐτρόπιος, ἔχων καὶ σύμβιον ὁμότροπον Θεοδώραν προσαγορευομένην. Ἦσαν δὲ ἐκ νεότητος αὐτῶν σεβόμενοι τὸν Θεόν· ἔτεκον δὲ υἱοὺς τρεῖς· καὶ τοὺς μὲν δύο υἱοὺς ἀξιώμασι περιέβαλον μεγάλοις, κατέλιπον δὲ τὸν Ἰωάννην, τουτέστι τὸν νεώτερον, καὶ παρέδωκαν εἰς διατριβήν. Καὶ μετὰ τὸ πληρῶσαι αὐτὸν τὴν γραμματικήν, προεβίβαζον τὴν ῥητορικὴν τέχνην. Γενομένου δὲ αὐτοῦ δωδεκαετοῦς χρόνου, καὶ πλείστης ῥητορικῆς ἀνύσαντος Θεοῦ προνοίᾳ, πρὸ πάντων ταῖς ἐκκλησίαις ἤρξατο σχολάζειν, ὡς πολλοὺς ἐκπλήττεσθαι ἐπὶ τῇ τοῦ νέου εὐφυΐᾳ.

Ἑν μιᾷ οὖν τῶν ἡμερῶν μοναχός τις τῆς εὐαγοῦς μονῆς τῶν λεγομένων Ἀκοιμήτων εὐχῆς ἕνεκα εἰς τὰ Ἱεροσόλυμα πορευόμενος τῷ οἴκῳ τοῦ εἰρημένου παιδὸς ἐπεξενώθη ἐπὶ ἱκανὰς ἡμέρας. Ὁ οὖν παῖς θεωρήσας τὴν ἀναστροφὴν καὶ ἄσκησιν τοῦ ἐπιξενωθέντος μοναχοῦ ἤρξατο θείῳ ζήλῳ πυρούμενος ἐρωτᾶν (63 v) *αὐτὸν «πόθεν εἶ, κύρι ἀββᾶ, καὶ ποῦ πορεύῃ καὶ ποία ἡ διαγωγὴ καὶ ὁ τρόπος τῆς ἀσκήσεως τῆς μονῆς ὑμῶν» καὶ ἀνήγγειλεν αὐτῷ ὁ μοναχὸς πάντα προσθεὶς ὅτι «κἀγὼ διὰ μικροψυχίαν τινὰ πορεύομαι εὔξασθαι εἰς Ἱεροσόλυμα καὶ αὖθις ἐπαναλύω εἰς τὴν μονήν μου».*

Ἀκούσας δὲ ὁ Ἰωάννης ἀναχωρεῖ κατ' ἰδίαν λαβόμενος τῆς χειρὸς αὐτοῦ, καὶ ἤρξατο ὅρκοις φρικτωδεστάτοις ἀνακρίνειν αὐτὸν ἐπὶ τῷ ἐκτελέσαντα τῆς εὐχῆς τὴν ὁδοιπορίαν ἀνακάμψαι αὐτὸν καὶ συμπαραλαβεῖν αὐτὸν εἰς τὸ μοναστήριον, λέγων ὅτι «οἱ γονεῖς μου μαθητεύο(ντες) με βούλονται καὶ εἰς μεγάλην με ἀξίαν ἀγαγεῖν καὶ γάμῳ προσομιλῆσαι. Ἐγὼ δὲ ἔγνων ὅτι πάντα τὰ τοῦ βίου τούτου μάταιά εἰσι, κἀκεῖνος μόνον σῴζεται ὁ καταφρονῶν τοῦ βίου τούτου, δι' ὃ προσπίπτω σοι, κύριέ μου, λαβεῖν εἰς τὸ μοναστήριον καὶ συγκαταλέξαι τῇ ἁγίᾳ σου ποίμνῃ». Ταῦτα ἀκούσας ὁ ἀββᾶς μεθ' ὅρκου ἐπληροφόρησε αὐτὸν τὴν ἐπάνοδον δι' αὐτοῦ ποιεῖσθαι καὶ λαμβάνειν αὐτόν.

Συνθέμενοι οὖν ἀλλήλοις ἀπῆλθεν ὁ ἀββᾶς. Ὁ δὲ Ἰωάννης ἀπελθὼν πρὸς τοὺς γονεῖς αὐτοῦ ἔφη: «Οὐ δύναμαι εἰς τὴν διατριβὴν ἀπελθεῖν. Ἰδοὺ γὰρ πάντες οἱ παῖδες τῆς διατριβῆς μετὰ τὸ πρᾶξαι ἔχουσιν Εὐαγγέλια καὶ καθεζόμενοι ἀναγινώσκουσι. Κἀγὼ οὕτως εἰμὶ ὡς μὴ ἔχων γονεῖς ἀπο-

ρῶν Εὐαγγελίου. Ἀλλὰ δέομαι ὑμῖν, κύριοί μου, κἀμοὶ κελεύσατε γενέσθαι Εὐαγγέλιον, ὅπως σχὼν μετὰ χαρᾶς ἀναγινώσκω». Ἀκούσασα δὲ ἡ μήτηρ αὐτοῦ ἐχάρη ὅτι οὕτως περὶ τὴν μάθησιν (64r) σπουδαίως ἔχει. Καὶ λέγει τῷ ἀνδρὶ αὐτῆς: «Τοιοῦτον κατασκεύασον Εὐαγγέλιον καὶ δὸς τῷ τέκνῳ ἡμῶν, ὡς μὴ μόνον τὰ ἐντὸς αὐτοῦ εἰς πόθον αὐτὸν ἐξεγείρει, ἀλλὰ καὶ ἡ καλλονὴ αὐτοῦ τῆς κατασκευῆς πλείονα τὴν τέρψιν καὶ τὸν κόσμον αὐτῷ ποιεῖ». Εὐθέως δὲ ὁ πατὴρ αὐτοῦ ἐκέλευσεν ἀχθῆναι χρυσοχόον καὶ λέγει αὐτῷ: «Λάβε χρήματα ὅσα βούλῃ καὶ κατασκεύασον Εὐαγγέλιον τῷ υἱῷ μου». Λαβὼν δὲ πεντακόσια νομίσματα καὶ λίθους πολυτελεῖς κατεσκεύασε τὸ Εὐαγγέλιον καὶ ἐδόθη τῷ Ἰωάννῃ. Ὁ δὲ λαβὼν τὸ Εὐαγγέλιον ἐβάσταζεν αὐτὸ καὶ ἐξεμάνθανε μετὰ πολλοῦ τοῦ πόθου προσδοκῶν τὴν ἐπάνοδον τοῦ ἀββᾶ.

Ἡμερῶν δέ τινων διελθουσῶν παραγίνεται ὁ ἀββᾶς. Καὶ ἰδὼν αὐτὸν ὁ Ἰωάννης ἐχάρη σφόδρα καὶ προσδραμὼν περιεπτύξατο αὐτὸν μετὰ πολλῆς εὐφροσύνης καὶ λέγει αὐτῷ: «Κύριέ μου, τὰ σπλάχνα τῶν γονέων μου καὶ τὸ φίλτρον τὸ εἰς ἐμὲ οὐδεὶς ἐπίσταται εἰμὴ ἐγώ, μάλιστα τὸ τῆς μητρός μου. Καὶ ἐὰν μάθῃ τὸν σκοπόν μου, τοῖς δάκρυσιν αὐτῆς ἐκκόπτει μου τὴν πρόθεσιν. Ἀλλὰ μεθ' ἡσυχίας ἀπέλθωμεν, ὥστε μηδένα γνῶναι». Λέγει αὐτῷ ὁ μοναχός: «Ὡς βούλῃ, τέκνον, ποιήσωμεν. Οἶδα γὰρ ὅτι τὴν ἐπιθυμίαν σου πληροῖ ὁ Κύριος». Καὶ παραλαβὼν αὐτὸν ὁ Ἰωάννης ἔρχεται ἐπὶ τὸν αἰγιαλὸν καὶ εὑρίσκει πλοῖον καὶ λέγει τῷ ναυκλήρῳ: «Παρακαλοῦμέν σε, ἀδελφέ, ὅπως ἐκμισθώσῃς ἡμῖν τὸ πλοιάριόν σου καὶ διασώσῃς ἡμᾶς ἕως τῶν ἄνω μερῶν τῆς μονῆς τῶν Ἀκοιμήτων». Ὁ δὲ ναύκληρος λέγει αὐτοῖς: «Ἐγὼ εἰς τοῦτο κάθημαι ὧδε τοῦ φορτῶσαι τὸ πλοῖον μου». (64v) Λέγει αὐτῷ ὁ Ἰωάννης: «Εἰπέ μοι, ἀδελφέ, πόσων νομισμάτων ἐστὶν ὁ γόμος τοῦ πλοίου σου κἀγὼ ἐκμισθοῦμαι αὐτό». Ὁ δὲ εἶπεν: «Ἑκατὸν νομισμάτων». Λέγει αὐτῷ ὁ Ἰωάννης: «Ἀνάμεινον, ἀδελφέ, τρεῖς ἡμέρας κἀγὼ ἐκμισθοῦμαι αὐτό». Καὶ συνθέμενοι αὐτῷ ἀπῆλθον. Εἶπε δὲ ὁ Ἰωάννης τῷ ἀββᾷ κατ' ἰδίαν: «Ὁ μὲν μισθὸς τοῦ πλοίου πολύς, τὸ δὲ ἀναχωρῆσαί με ἐκ τῶν γονέων μου καὶ μὴ κατασχεθῆναί με ὑπ' αὐτῶν πολὺ κρεῖττόν ἐστιν. Ἀπελθὼν οὖν λαλήσω τοῖς γονεῦσί μου σχηματικῶς ὅπως δώσουσί μοι χρήματα ἐπὶ τῷ ναυκλήρῳ». Ὁ δέ: «Πορεύου, τέκνον, ὁ Κύριος κατευοδώσει σε».

Καὶ ἐλθὼν ὁ Ἰωάννης λέγει τῇ μητρὶ αὐτοῦ: «Κυρία μήτηρ, ἡ καλῶς με ἀναθρεψαμένη ἐξ ἀρχῆς, ὡς ὀλίγαι μητέρες ἀνέθρεψαν τὰ ἑαυτῶν τέκνα, διὰ τὸ εἰς ἐμὲ ἄμετρον φίλτρον καὶ πᾶσάν μου ἐπιθυμίαν πληρώσασα. Ἔτι μίαν αἴτησιν αἰτοῦμαι παρὰ σοῦ εἰς ὑμέτερον καύχημα». Ἡ δὲ λέγει: «Αἴτησαι, τέκνον, ὃ βούλῃ». Ὁ δὲ εἶπεν αὐτῇ: «Κυρία μήτηρ, πάντες οἱ παῖδες οἱ ἐν τῇ διατριβῇ οὐ μόνον ἅπαξ ἢ δὶς ἐκάλεσάν με εἰς ἑστίασιν, ἀλλὰ καὶ πολλάκις, καὶ μὴ δυνάμενος ἀμείψασθαι αὐτοὺς οὐδὲ εἰς τὴν διατριβὴν δύναμαι ἀπελθεῖν ὑπὲρ τῆς ἐντροπῆς ἁλισκόμενος». Ἡ δὲ λέγει αὐτῷ: «Ἀνάμεινον, τέκνον, σήμερον κἀγὼ πείθω τὸν πατέρα δοῦναί σοι χρήματα καὶ προτρέπου οὗς βούλῃ». Καὶ ἐλθόντος τοῦ πατρὸς αὐτοῦ ἀπήγγειλεν αὐτῷ ταῦτα. Καὶ

ἐπιδίδει αὐτῷ νομίσματα ἑκατὸν καὶ παῖδα παραφύλακα, ὅπως μὴ ἐκκλίνῃ ὡς παιδίον καὶ εἰς ὑπαρὰς χρείας (65r) καὶ ἀκαίρους ἀναλώσῃ αὐτά.

Καὶ λαβὼν ὁ Ἰωάννης τὰ ἑκατὸν νομίσματα ἔρχεται πρὸς τὸν ἀββᾶν σὺν τῷ παραφύλακι αὐτοῦ καὶ λέγει : «Κύρι ἀββᾶ, ὁ ἄνθρωπος οὗτος ἐμὸς ἐστι, κέλευσον οὖν σὺν αὐτῷ ἀναμεῖναί με ὧδε. Ἐγὼ δὲ πορευθεὶς πρὸς τοὺς ἑταίρους μου συντάξω αὐτοῖς τὴν ἡμέραν τῆς ὑποδοχῆς». Καὶ ἐάσας τὸν παῖδα παρὰ τῷ ἀββᾷ ἔρχεται πρὸς τὸν ναύκληρον καὶ λέγει αὐτῷ : «Ἀδελφέ, ἐμοὶ καὶ τῷ μοναχῷ ἐκείνῳ ἐκμισθώσεις τὸ πλοῖον σου». Λέγει αὐτῷ ἐκεῖνος : «Εἶπόν σοι ὅτι πολύς ἐστιν ὁ μισθὸς τοῦ πλοίου· ἐὰν δὲ ἐκδέχησθε, λαμβάνω ὑμᾶς μετὰ τοῦ φόρτου μου». Λέγει αὐτῷ ὁ Ἰωάννης : «Λάβε παρ' ἐμοῦ τὸν μισθόν σου, μόνον διάσωσον ἡμᾶς». Καὶ ἐκβαλὼν τὰ ἑκατὸν νομίσματα δίδωσιν αὐτῷ λέγων: «Ὅταν ἴδῃς τὸν ἀέρα ἐπιτήδειον τὸν ὀφείλοντα ἡμῖν συνεργῆσαι, νεύματι κάλεσον ἡμᾶς· ὑφορώμεθα γάρ τινας καὶ θέλομεν φυγῇ χρήσασθαι». Λαβὼν οὖν ὁ ναύκληρος τὰ νομίσματα λέγει αὐτῷ : «Ἀπελθε ἐν εἰρήνῃ, ἐγὼ γὰρ ὑμᾶς διασώζω, Θεοῦ κελεύοντος». Ἐλθὼν οὖν ὁ Ἰωάννης διηγήσατο πάντα τῷ ἀββᾷ κρύψας ἀπὸ τοῦ παιδὸς τὸ πρᾶγμα.

Ἡμερῶν δὲ διαγενομένων λέγει τῷ Ἰωάννῃ ὁ μοναχός : «Ἀπέλθωμεν ἕως θαλάσσης». Καὶ εἶπεν αὐτῷ ὁ Ἰωάννης : «Ναί, ἀπέλθωμεν ὅτι ἕως δύο ἡμερῶν δεξίωσίς μοι ἔστι καὶ χρείαν ἔχω». Τότε καλέσας (;) τῷ δούλῳ τῷ μετ' αὐτοῦ : «ἰδοὺ ἰχθύος καλοῦ μοί ἐστι χρεία». Καὶ ἀπελθόντων εἰς τὸν αἰγιαλὸν κελεύσει Κυρίου γέγονεν ἄνεμος ἐπιτήδειος καὶ ἤρξατο νεύματι (65 v) προσκαλεῖσθαι αὐτοὺς ὁ ναύκληρος. Μὴ δυνάμενοι δὲ λαθεῖν τὸν παῖδα λέγουσιν αὐτῷ : «Ἀπελθὼν ἴδε τί πράττουσιν οἱ παῖδες ἐν τῇ διατριβῇ καὶ ἐλθὼν εὑρήσεις ἡμᾶς ὧδε». Ἀπελθόντος οὖν αὐτοῦ ἐμβάντες εἰς τὸ πλοῖον ἔπλευσαν καὶ διασωθέντες ἦλθον εἰς τὴν εὐαγῆ μονὴν ὡς ηὐδόκησε (Κύριος). Διηγήσατο δὲ ὁ ἀββᾶς τῷ ἀρχιμανδρίτῃ πᾶσαν τὴν πίστιν τοῦ παιδός. Ἰδὼν δὲ αὐτὸν ὁ ἀρχιμανδρίτης καὶ εὐλογήσας αὐτὸν λέγει : «Τέκνον, πολὺ νεώτερος εἶ· ἔθος δέ ἐστι παρ' ἡμῖν τὸν θέλοντα ἀποτάξασθαι ἀναμεῖναι τεσσαράκοντα ἡμέρας καὶ θεωρῆσαι τὸν κανόνα τῆς ἀσκήσεως καὶ οὕτως ἀποκουρεύεσθαι». Λέγει αὐτῷ ὁ Ἰωάννης : «Πάτερ, διὰ τὸν Κύριον σήμερόν με ἀποκούρευσον ὅτι πολύς μοι πόθος ἐστὶ καὶ σπουδὴ φορέσαι τὸ ἀγγελικὸν σχῆμα». Τότε εὐλογήσας αὐτὸν ὁ ἀρχιμανδρίτης ἀπέθριξε τὴν κεφαλὴν αὐτοῦ, δεδωκὼς αὐτῷ καὶ τὸν στολισμὸν τῆς ἀσκήσεως. Αὐτὸς δὲ μετὰ προθυμίας ἤσκει δεόμενος τοῦ Θεοῦ νυκτὸς καὶ ἡμέρας ἀκαταπαύστως. Ἐποίησε δὲ ἐν τῇ μονῇ ἔτη ἓξ καὶ ἔταξεν ἑαυτῷ ἐγκράτειαν πᾶσαν, ὡς μηδενὸς ἄλλου γεύεσθαι εἰμὴ μόνον τοῦ τιμίου σώματος καὶ αἵματος τοῦ Κυρίου. Ὥστε θαυμάζοντα τὸν ἀρχιμανδρίτην λέγειν ὅτι «παιδίον ὑπάρχον πολὺν κόπον σεαυτῷ περιέθηκας».

Ἰδὼν δὲ ὁ μισόκαλος δαίμων τὴν πολλὴν αὐτοῦ σπουδὴν καὶ τὸν δρόμον τῆς ἀσκήσεως καὶ προθέσεως ἐμάνη σφόδρα καὶ ἠγριώθη μεγάλως κατ' αὐτοῦ. Καὶ μὴ (66 r) δυνάμενος νικῆσαι τὸν γενναῖον αὐτοῦ λογισμὸν καὶ ἀποστῆσαι τῆς ἐλπίδος τοῦ Θεοῦ ἀνάμνησιν ὑποβάλλει αὐτῷ καὶ πόθον πολὺν

τῶν γονέων, ὥστε νυκτὸς καὶ ἡμέρας ἐννοεῖν περὶ αὐτῶν, τήν τε προέλευσιν καὶ τὴν τῶν παίδων τοῦ βίου ἀπάτην καὶ γλυκεῖαν ματαιότητα, ὡς ἐκ τῆς πολλῆς νηστείας καὶ ἀγρυπνίας καὶ τοῦ πόθου τῶν γονέων ἐκτακῆναι αὐτοῦ τὸ σῶμα καὶ γενέσθαι ὡς σκιὰ θανάτου. Ἰδὼν δὲ αὐτὸν ὁ ἀρχιμανδρίτης εἶπεν : «Οὐκ εἶπόν σοι, τέκνον, ὅτι ὁ Θεὸς τὰ κατὰ δύναμιν ἀπὸ τῶν δούλων αὐτοῦ ἀπαιτεῖ ; Σὺ δὲ κατέτηξας σεαυτὸν ὑπὲρ δύναμιν ἀσκῶν». Λέγει αὐτῷ ὁ Ἰωάννης : «Δέομαί σου, πάτερ, οὐχ ἡ νηστεία με δαμάζει, ἀλλ' αἱ ἁμαρτίαι μου παρεμπόδιόν μοι γίνονται. Ἔχω γὰρ ἡμέρας πολλὰς ἀφ' οὗ ὁ ἐχθρὸς ἐνετάραξέ μου τὴν ψυχὴν πρὸς ἐπιθυμίαν κινήσας τοῦ ἰδεῖν με τοὺς γονεῖς μου καὶ τὸν οἶκόν μου καὶ οὐκ οἶδεν ὅτι κἀκεῖ ἀπελθὼν καὶ αὐτοὺς θεωρήσας ἀνίσχυρον αὐτὸν καὶ μάταιον ἀποδείξω». Λέγει αὐτῷ ὁ ἀρχιμανδρίτης : «Οὐκ εἶπόν σοι παρὰ τὴν ἀρχὴν ὅτι μέγας ἐστὶν ὁ ἀγὼν τῆς ἀσκήσεως ; » Καὶ δακρύσας εὐλόγησεν αὐτόν.

Τῇ δὲ ἐπαύριον ἀναστὰς ὁ Ἰωάννης ἦλθε πρὸς τὸν ἀρχιμανδρίτην καὶ ἔπεσε πρὸς τοὺς πόδας αὐτοῦ δεόμενος μὴ ὀργισθῆναι αὐτῷ, ἀλλ' εὔχεσθαι αὐτοῦ καὶ ἐπιτρέψαι ἀπελθεῖν καὶ θεωρῆσαι τοὺς γονεῖς αὐτοῦ, καὶ οὕτω τοῦ Χριστοῦ συνεργοῦντος πατῆσαι τὸν ἀντικείμενον. Καὶ συναθροίσας ὁ ἀρχιμανδρίτης ἅπαντας τοὺς ἐν τῇ μονῇ ἀδελφοὺς παραθέμενος αὐτὸν τῷ Κυρίῳ ἀπέλυσεν.

Ὁ δὲ Ἰωάννης ἀρξάμενος τῆς ὁδοῦ καὶ μικρὸν ἐκεῖθεν προβὰς στραφεὶς καὶ ἰδὼν τὴν ἁγίαν μονὴν ἔκλαυσε πικρῶς (66 v) καὶ κλαίων ἔλεγε : «Σῴζεσθε, πατέρες καὶ ἀδελφοί, σῴζου ἡ εὐλογημένη μου συνοδεία καὶ ξυναυλία, ἡ καλῶς με ὑποδεξαμένη καὶ ἀναθρέψασα· ἐγὼ ἀναξίως ἐγενόμην τῆς σκέπης ἡμῶν καὶ τῆς ἀγάπης». Καὶ θεὶς τὰ γόνατα ἐπὶ γῆς καὶ προσευξάμενος ἔκλαυσεν ἐπὶ πολὺ ἕως οὐκ ἦν ἐν αὐτῷ ἰσχύς. Καὶ παρεκάλεσε τὸν Θεὸν ὁλοψύχως ὅπως κατευοδώσῃ αὐτὸν ἐπὶ πᾶσιν ἔργοις τοῖς εὐαρεστοῦσιν αὐτῷ καὶ ἀναστὰς ἐπορεύετο κλαίων ἀκαταπαύστως. Ὡς δὲ ἦλθεν ὁδοιπορῶν τὴν ἡμισείαν ὁδὸν φθάνει πτωχὸν τινὰ κατεστιγμένον ἐν πενιχροῖς ἐνδύμασι ῥακοδυτοῦντα καὶ λέγει αὐτῷ : «Χαίροις, ἀδελφέ». Ἀπεκρίνατο δὲ κἀκεῖνος : «Χαῖρε καὶ αὐτός, ἀδελφὲ καὶ συνοδοιπόρε». Ὁ δὲ Ἰωάννης πάλιν ἔφη πρὸς αὐτόν : «Δοκεῖ σοι, ἀδελφέ, ὁδεύσωμεν ἄμφω τὴν ὁδὸν ἡμῶν;». Ὁ πένης πρὸς αὐτὸν ἀπεκρίνατο : «Χάριν ἔχω ἐν τούτῳ». Ὁδευόντων δὲ αὐτῶν λέγει αὐτῷ ὁ Ἰωάννης : «Ὁρῶ σε, ἀδελφέ, κατεστιγμένον ὄντα καὶ μὴ δυνάμενον βαστάζειν τὰ περικείμενά σοι ἱμάτια, ἀλλὰ ἀποδυσάμενος προθύμως λάβε τὴν ἐμὴν ἐσθῆτα κἀγὼ ἐνδύσομαι τὰ σὰ ἱμάτια, ἵνα εὔθυμος ὑπάρχῃς ἐν τῷ περιπατεῖν». Καὶ ὁ πτωχὸς ἀκούσας εὐθέως ἀποδυσάμενος ἤλλαξε καὶ λαβὼν τὰ ἐκείνου στόλια ἐνεδύσατο. Ὁ δὲ Ἰωάννης ἐπενδύσατο τὰ παλαιὰ ῥάκη ἐκεῖνα. Καὶ ὁδεύοντες ἐπὶ ἱκανὸν τόπον καὶ συνταξάμενοι ἀλλήλοις διεχωρίσθησαν.

Ὁ δὲ Ἰωάννης ἐπὶ πλεῖον μετὰ ταῦτα ὁδοι(πορήσας) (67 r) ἦλθεν ἀπέναντι τῆς οἰκίας τῶν γονέων αὐτοῦ. Καὶ ἰδὼν αὐτὴν ἔῤῥιψεν ἑαυτὸν ἐπὶ τὴν γῆν καὶ προσηύξατο λέγων πρὸς Κύριον : «Κύριε Ἰησοῦ Χριστέ, ποιητὰ οὐρα-

νοῦ καὶ γῆς, μὴ ἐγκαταλίπῃς με, ἀλλ' ἐν τῷ γονικῷ μου οἴκῳ ἀξίωσόν με τοῦ νικῆσαι τὰς παγίδας τοῦ ἀντικειμένου ἐχθροῦ, μήπως ἐπάρῃ πτέρναν κατ' ἐμοῦ καὶ εἰς βυθὸν Ἅδου κατάξῃ με». Καὶ ἐν ἑσπέρᾳ βαθείᾳ, εἰσελθὼν ἐν τῷ οἴκῳ αὐτοῦ πάλιν ἐβόησεν ἐν ἐκτενείᾳ πρὸς τὸν Θεὸν λέγων: «Παντοκράτορ ὕψιστε, ἰδοὺ καὶ τὸν οἶκον τῶν γονέων μου ἔδειξάς μοι καὶ οἰκείοις ποσὶν αὐτὸν συνεπάτησα καὶ τοῦ σοῦ ἐλέους καὶ τῆς ἀγαθότητός σου μὴ ἐκπέσω, ἀλλὰ δός μοι τελείωσιν ψυχῆς καὶ σώματος τοῦ τελειωθῆναι ἐν τῷ οἴκῳ τούτῳ ὡς ξένος καὶ ἀλλότριος διὰ τοῦ σοῦ ὀνόματος καὶ μὴ ἐάσῃς με πειρασθῆναι ὑπὸ τοῦ ἐχθροῦ, ἀλλὰ τῇ δεξιᾷ καὶ κραταιᾷ σου χειρὶ σκέπασόν με τὸν ἀνάξιον δοῦλόν σου». Καὶ ἔμεινεν ἐκεῖ ἕως τὸ πρωὶ ὡς ξένος καὶ ἄπορος.

Ἐλθὼν οὖν ὁ ἐπὶ τῆς οἰκίας τοῦ πατρὸς αὐτοῦ ἀνοῖξαι τὸν πυλῶνα κατὰ τὸ εἰωθὸς αὐτῷ βλέπει αὐτὸν κείμενον καὶ λέγει πρὸς αὐτόν: «Τίς εἶ σύ, ἄνθρωπε, καὶ πῶς ἐτόλμησας τοιοῦτος ὤν, ἐνταῦθα ἐν τῷ οἴκῳ τοῦ κυρίου μου διελθεῖν; Ἀλλὰ δὸς τόπον παρευθὺς ὅτι οἱ κύριοί μου προελθεῖν θέλουσι». Λέγει αὐτῷ ὁ Ἰωάννης: «Δέομαί σου, ἀδελφέ, ἄνθρωπος πτωχὸς καὶ ξένος παντελῶς εἰμι καὶ ποίησον μετ' ἐμοῦ ἔλεος, ὅπως μισθὸν μέγα λήψῃ καὶ ἔασόν με ἐν τῇ γωνίᾳ ταύτῃ κεῖσθαι, μηδέν μου ἀδι (67 v) κοῦντος, ἐνθυμούμενος καὶ σὺ ὅτι μέλλεις ἀπολαβεῖν ἀνταμοιβὴν ἀπὸ τῆς εὐσπλαχνίας τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, τοῦ ἀληθινοῦ Παντοκράτορος». Συμπαθήσας δὲ αὐτῷ ὁ ἐπὶ τῆς οἰκίας καὶ συμπονήσας τὴν αὐτοῦ πτωχείαν καὶ ξενιτείαν κατέλειψεν αὐτὸν ἐκεῖ.

Καὶ ἐξελθόντων μετὰ ταῦτα τῶν γονέων αὐτοῦ ὁρᾷ αὐτοὺς ὁ Ἰωάννης, ὁ φίλτατος καὶ πεποθημένος αὐτῶν υἱός, καὶ σχεδὸν ὅλον τὸ σῶμα αὐτοῦ ἐπληρώθη δακρύων καὶ ἰλιγγίασε πενθῶν καὶ λυπούμενος. Καὶ εἶπεν ἐν ἑαυτῷ: «Ὄντως καὶ τοὺς γονεῖς μου ἐθεασάμην αὐτοψεὶ τῇ βουλήσει τοῦ Δεσπότου Χριστοῦ καὶ τὰ κέντρα σου τὰ πεπυρωμένα, ἀντικείμενε, καταπαύσω καὶ καταπατήσω τῇ δυνάμει καὶ συνεργείᾳ τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ». Καὶ πάλιν προσηύξατο ἐκ πόθου καὶ καρδίας ζεούσης: «Κύριε Ἰησοῦ Χριστὲ καὶ Θεέ, μὴ ἐγκαταλίπῃς με, τὸν ταπεινόν σου δοῦλον». Καὶ ἔμεινεν ἐν τῇ πενιχρᾷ ἐκείνῃ καὶ στενωτάτῃ γωνίᾳ ἐνιαυτὸν ἕνα.

Καὶ ὡς εἶδεν ὁ πατὴρ αὐτοῦ τὴν ἄμετρον ταπείνωσιν καὶ καρτερίαν αὐτοῦ ἤρξατο ἀπὸ τῆς τραπέζης αὐτοῦ ἀποστέλλειν αὐτῷ τροφὴν λέγων: «Πῶς πονεῖ μου ἀμέτρως ἡ ψυχὴ ἐπὶ τῇ ὑπομονῇ τοῦ πτωχοῦ τούτου καὶ ξένου, ὅτι ἐν τοσούτῳ χειμῶνι καὶ παγετῷ οὕτως προσκαρτερεῖ τῷ πυλῶνι· δυνατός ἐστιν ὁ Θεὸς δι' αὐτοῦ σῶσαι καὶ ἡμᾶς· πάντως γὰρ διὰ τοῦτο ἀπεστάλη ἐν τῷ οἴκῳ ἡμῶν, ἵνα καὶ ἡμεῖς σωθῶμεν ὁρῶντες αὐτοῦ τὴν τοσαύτην καρτερίαν». Ἐξελθοῦσα (68 r) δὲ ἡ μήτηρ αὐτοῦ ἐν μιᾷ εἶδεν αὐτὸν ἐξαίφνης καὶ ἔκπληκτος καὶ ἔκθαμβος ἐγένετο διὰ τὸ ἄγριον καὶ ἀνυπόδυτον καὶ γεγυμνωμένον ἀηδῆ οὕτως ὑπάρχοντα καὶ λέγει τοῖς παισὶν αὐτῆς: «Σύρατε αὐτὸν ἔνθεν σπουδαίως ἔνθα ἐξέρχομαι, ὅτι τούτου ἐνθάδε κειμένου οὐ δύναμαι εἰσερχοεξέρχεσθαι». Εὐθέως δὲ ἔσυραν αὐτὸν οἱ παῖδες τοῦ οἴκου παρὰ μίαν. Ἐξῆλθε δὲ ἀπὸ τῆς πύλης μικρὸν συρόμενος κἀκεῖ ὑπο-

1 μένων οὐκ ἀνεχώρει, ἀλλ' ἔκειτο εὐχαριστῶν τῷ Θεῷ. Ἐξελθὼν δὲ ὁ ἀπὸ τῆς οἰκίας λέγει αὐτῷ : «Ἄπελθε σύ, ἄνθρωπε, τῶν ὧδε, οὐ γὰρ δύναται ἡ κυρία ἡμῶν ὁρᾶν σε τὸ σύνολον». Λέγει αὐτῷ ὁ Ἰωάννης : «Δέομαί σου ὡς ἐξ ἀρχῆς ἐποίησας μετ' ἐμοῦ ἔλεος καὶ νῦν κέλευσον ποιῆσαί μοι ὧδε μικρὰν
5 καλύβην στενὴν μόνον πρὸς τὸ μὴ ὁρᾶσθαί με ὑπὸ τῆς κυρίας ἡμῶν». Ὁ δὲ ἐκ Θεοῦ νευσθεὶς καὶ μὴ μελλήσας ἐποίησεν αὐτῷ μικρὰν καλύβην καὶ ἔμεινεν ἐκεῖ ὑπομένων τὸ ψῦχος καὶ τὸν παγετὸν τοῦ χειμῶνος καὶ τὸν καύσωνα τοῦ θέρους. Καθ' ἑκάστην δὲ ὁ πατὴρ αὐτοῦ ἀπέλυεν αὐτῷ ἐκ τῆς τραπέζης αὐτοῦ. Ὁ δὲ τὰ ἀποστελλόμενα αὐτῷ ὑπὸ τοῦ πατρὸς δεχόμενος τοῖς πτωχοῖς
10 λάθρᾳ διεδίδου. Αὐτὸς δὲ οὔτε ἤσθιεν οὔτε ἔπινεν ἐξ αὐτῶν, ὥστε τοὺς πτωχοὺς καὶ πένητας πρὸς αὐτὸν ἐρχομένους ἀποτρέφεσθαι. Τοσοῦτον δὲ ἐταπείνωσε τὸ σῶμα αὐτοῦ, ὥστε φαίνεσθαι τὰς ἁρμονίας τῶν ὀστέων αὐτοῦ καὶ ἀναριθμήσασθαι ὑπὸ τῆς ἄγαν καὶ πολλῆς ἐγκρατείας καὶ κακουχίας.

Μετὰ δὲ τρία ἔτη ἰδὼν ὁ δεσπότης ἡμῶν (68 v) καὶ Θεὸς Ἰησοῦς Χριστὸς
15 τὸν πολὺν αὐτοῦ κόπον καὶ τὴν ἀμέτρητον ὑπομονὴν καὶ ὅτι ὄντως τέλειος ἀσκητὴς καὶ δοῦλος αὐτοῦ ὑπάρχει, παρίσταται αὐτῷ ἐν ὁράματι τῆς νυκτὸς λέγων αὐτῷ : «Χαίροις, Ἰωάννη ἐκλεκτέ, ὄντως κατὰ τὸ ὄνομά σου οὕτως καὶ ἡ πολιτεία σου· Ἰωάννης ἐδείχθης δοῦλος μου καὶ παρθένος· καταλιπὼν γὰρ πάντα ἐμοὶ ἠκολούθησας καὶ τανῦν πεπλήρωται ὁ καιρὸς τῆς ἀσκήσεώς
20 σου καὶ ὁ κόπος τῶν ἀγώνων σου· μετὰ γὰρ τρεῖς ἡμέρας ἔρχῃ πρὸς μὲ ἐν τῇ ἀναπαύσει τῶν δικαίων καὶ τῇ οὐρανίῳ μου βασιλείᾳ». Διυπνισθεὶς δὲ ὁ μακάριος ἤρξατο κλαίειν ὁλοψύχως καὶ προσεύχεσθαι καὶ λέγειν: «Εὐχαριστῶσοι, Κύριε ὁ Θεός μου, Παντοκράτορ ὕψιστε, ὅτι ἀνάξιον ὄντα με κατηξίωσάς με μετὰ τῶν ἁγίων τῶν δικαίων. Ἀλλὰ δέομαί σου, Κύριε, ποιητὰ οὐρανοῦ
25 καὶ γῆς, μνήσθητι καὶ τῶν ἐμῶν γονέων καὶ οἰκτίρησον καὶ ἐλέησον αὐτούς, μὴ λογισθεὶς αὐτῶν, Κύριε, τὰς ἁμαρτίας καὶ τὰ παραπτώματα, ἀλλὰ ἐξάλειψον τὸ χειρόγραφον τῶν ἁμαρτιῶν καὶ τῶν ἀνομιῶν αὐτῶν, ὅτι μόνος εὔσπλαχνος καὶ ἐλεήμων καὶ πολυέλεος ὑπάρχεις, Δέσποτα τῶν ἁπάντων». Καὶ πληρώσας τὴν εὐχὴν ὁ τοῦ Θεοῦ δοῦλος Ἰωάννης προσεκαλέσατο τὸν
30 ἄνθρωπον τὸν ἐπὶ τῆς οἰκίας καὶ λέγει αὐτῷ : «Ὡς ἐξ ἀρχῆς πεποίηκας ἔλεος μετ' ἐμοῦ τοῦ πτωχοῦ καὶ ξένου καὶ τανῦν πλήρωσον καὶ ταύτην ἄλλην μίαν αἴτησιν (69 r) πρὸς τὴν κυρίαν ἡμῶν». Ὁ δὲ ἀπεκρίνατο πρὸς αὐτόν : «Εἰπέ, ἀδελφέ, ὃ βούλῃ κἀγὼ αὐτῇ ἀναφέρω τὸ σὸν βουλητόν». Λέγει αὐτῷ ὁ Ἰωάννης : «Εἰσελθὼν λάλησον αὐτῇ ὅτι ὁ πτωχὸς ὁ πρὸ τῆς
35 πύλης σου κείμενος, ὃν ἐκέλευσας ἀποδιωχθῆναι καὶ ὡς ξένος ἀπὸ τοῦ πυλῶνός σου ἐκφυγεῖν, παρακαλεῖ δι' ἐμοῦ λέγων «μὴ ὑπερηφανήσῃς τὸν πτωχὸν καὶ πένητα, ἀλλὰ ἀνεξικάκως καὶ ἐκτὸς ὑπερηφανείας καταξίωσον λαλῆσαι αὐτῷ αὐτοπροσώπως». Εἰσελθὼν δὲ ὁ ἐπὶ τῆς οἰκίας ἀνήγγειλε τῇ κυρίᾳ αὐτοῦ τὰ παρὰ τοῦ Ἰωάννου πάντα λεχθέντα. Ἡ δὲ πρὸς αὐτὸν ἔφη : «Καὶ
40 ἄρα τί ἔχει μοι ὁ πτωχὸς οὗτος εἰπεῖν μὴ δυνάμενος παρασταθῆναί με καὶ λαλῆσαι, ἐπεὶ οὐχ ὑποφέρω ὁρᾶν αὐτῷ· πάνυ γὰρ ἀηδίζομαι ἐν αὐτῷ τῷ πένητι». Εἰσελθοῦσα δὲ ἀπήγγειλε τῷ ἀνδρὶ αὐτῆς λέγουσα ὅτι «ὁ ξένος ὁ ἐπὶ

1 τῆς πύλης ἡμῶν κείμενος διεμηνύσατό μοι ἵνα λαλήσῃ μοί τι αὐτοπροσώπως». Καὶ λέγει αὐτῇ: «Ἄπελθε, κυρία, καὶ μὴ ὑπερηφανήσῃς τὸν πτωχόν. Ἐπεὶ τοὺς αὐτοὺς πτωχοὺς ἐξελέξατο ὁ Θεὸς καὶ οὐκ οἶδας τί ἔχει εἰπεῖν σοι. Ἀλλ' ἄπελθε σπουδαίως». Πάλιν οὖν δηλοῖ αὐτῇ ὁ μακάριος Ἰωάννης, ὡς εἶδεν
5 ὅτι ὑπερέθετο καὶ οὐκ ἠθέλησεν ἀπελθεῖν, λέγων οὕτως ὅτι «μετὰ τρεῖς ἡμέρας ἀποθνῄσκω· ἐὰν οὖν μὴ (69 v) ἔλθῃς καὶ ἴδῃς με, πολλὰ ἔχεις μετανοῆσαι καὶ ὕστερον οὐκ ὠφεληθήσῃ». Ἡ δὲ ἀκούσασα περὶ τοῦ θανάτου αὐτοῦ ἐξῆλθε καὶ λέγει τοῖς παισὶν αὐτῆς: «Ἀπέλθετε καὶ φέρετέ μοι αὐτὸν ὧδε».

Ἀπελθόντες οὖν οἱ παῖδες ἐν τῇ πικροτάτῃ ἐκείνῃ καλύβῃ καὶ στενωτάτῃ·
10 τῇ ἐχούσῃ τὸν τιμημένον τοῦτον θησαυρόν, καὶ ἐναχθεὶς ὁ μακάριος ὑπὸ τῶν παίδων καὶ κατακαλυψάμενος πάντα τὰ μέλη αὐτοῦ καὶ ὡς ἄγνωστον ἑαυτὸν ποιήσας λέγει πρὸς αὐτήν: «Κυρία, ὁ μισθός σου πεπλήρωται, καθὼς εἶπεν ὁ δεσπότης Χριστὸς καὶ Θεὸς ἡμῶν ἐν Εὐαγγελίοις ὅτι ἐφ' ὅσον ἐποιήσατε ἑνὶ τούτων τῶν ἀδελφῶν μου τῶν ἐλαχίστων, ἐμοὶ ἐποιήσατε. Ἀλλ' ἐγὼ πέ-
15 νης καὶ μὴ ἔχων τι δοῦναί σοι ὑπὲρ τῶν ἀμέτρων μισθῶν, ὧν πρὸς ἐμὲ τὸν ξένον πεποίηκας, μίαν εὐλογίαν σοι θέλω καταλιπεῖν, πλὴν ὄμοσόν μοι ὅτι εἴ τι παρεγγυῶ σοι ποιῆσαι μετὰ τὴν ἔξοδόν μου, τοῦτο καὶ ποιήσεις». Ἡ δὲ ὤμοσεν αὐτῷ ὅτι «πάντα τὰ ἐντελλόμενά μοι παρὰ σοῦ ἐκπληρώσω καὶ οὐκ ἄλλο τι ποιήσω παρά (;) ὅσον διὰ στόματος παραγγείλῃς μοι». Καὶ λέγει αὐ-
20 τῇ ὁ Ἰωάννης: «Τὸν αὐτὸν ὅρκον, ὃν ὤμοσάς μοι, κυρία, μὴ ἐάσῃς με ὑπὸ ἑτέρων ἱματίων ἀμφιεσθῆναι πλὴν τούτων τῶν πενιχρῶν ἃ φορῶ, καὶ ἐν τῷ τόπῳ (70 r) τούτῳ, ᾧπερ ἡ καλύβη μου ἵσταται, κέλευσόν μοι ταφῆναι, ὅτι ἀνάξιός εἰμι ὑπὸ ἑτέρων ἱματίων ἐνταφιασθῆναι». Καὶ ταῦτα εἰπὼν ἐπέδωκεν αὐτῇ τὸ Εὐαγγέλιον λέγων: «Δέξου τὴν μικράν μου ταύτην εὐλογίαν
25 καὶ ἔσται σοι τοῦτο ἐν τῷ παρόντι βίῳ σύνδεσμος, ἐν δὲ τῷ μέλλοντι αἰῶνι ἐφόδιόν σού τε καὶ τοῦ κυρίου μου». Δεξαμένη δὲ ἡ μήτηρ αὐτοῦ τὸ Εὐαγγέλιον καὶ ἀναστρεφομένη αὐτὸ ἔνθεν κἀκεῖσε περιφέρουσα εἰς τὰς χεῖρας αὐτῆς ἔλεγέ τι ὅτι «ὅμοιόν ἐστι τοῦτο τὸ Εὐαγγέλιον, ᾧ κατεσκεύασεν ὁ κύριός μου καὶ δέδωκε τῷ υἱῷ ἡμῶν Ἰωάννῃ». Καὶ τὸ τάχος ἐξελθοῦσα ἀπῆλθε καὶ
30 ἔδειξεν αὐτῷ τῷ ἀνδρὶ αὐτῆς. Καὶ ἰδὼν αὐτὸ ἐξεπλάγη καὶ λέγει πρὸς αὐτήν: «Ὄντως, γύναι, τοῦτό ἐστι τὸ Εὐαγγέλιον, ὃ κατεσκευάσαμεν καὶ δεδώκαμεν τῷ υἱῷ ἡμῶν τῷ Ἰωάννῃ. Ἀλλ' ἐρωτήσωμεν αὐτὸν ἐν ἀκριβείᾳ πόθεν αὐτὸ ἔχει. Οὗτος γὰρ ὀφείλει εἰδέναι ποῦ ἔστιν ὁ υἱὸς ἡμῶν καὶ ποῦ τὸ Εὐαγγέλιον εὗρε». Καὶ ἀπελθόντες ἀμφότεροι πρὸς τὸν Ἰωάννην λέγουσιν
35 αὐτῷ: «Ὁρκίζομέν σε κατὰ τῆς ἀχράντου καὶ ζωοποιοῦ Τριάδος, ἵνα ἡμῖν εἴπῃς μετὰ πάσης ἀληθείας πόθεν σοι τὸ Εὐαγγέλιον τοῦτο καὶ ποῦ αὐτὸ εὗρες καὶ μὴ ἀποκρύψῃς ἀφ' ἡμῶν ἅπασαν τὴν ἀλήθειαν». Ὁ δὲ μηκέτι φέρων μηδὲ ὑπομένων τὸ σύνολον ἀπὸ τῆς βίας τῶν σπλάγχνων αὐτοῦ ἐπὶ πολὺ ταραττομένων (70 v) ὁρῶν τὸν πατέρα καὶ τὴν μητέρα ἐκ δεξιῶν καὶ ἐξ εὐω-
40 νύμων καθεζομένους ἀπεκρίνατο πρὸς αὐτούς: «Ἐγώ εἰμι Ἰωάννης ὁ υἱὸς ὑμῶν καὶ τὸ Εὐαγγέλιον τοῦτό ἐστι τὸ δοθέν μοι παρ' ὑμῶν. Ἀλλὰ ποθήσας τὸν γλυκύτατόν μου Θεόν (;), τὸν δεσπότην Χριστόν, ἐφόρεσα τὸν ζυγὸν

αὐτοῦ τὸν ἐλαφρότατον». Καὶ ἀκούσαντες παρ᾽ αὐτοῦ ὁ πατὴρ καὶ ἡ μήτηρ τούτων(;) καὶ ἔκθαμβοι γεγονότες ἔπεσον ἐπὶ τὸν τράχηλον αὐτοῦ ἀπὸ ὥρας πρώτης ἕως ὥρας ἕκτης κλαίοντες καὶ θρηνοῦντες ἐν οἰμωγαῖς δακρύων καὶ ἀκαταπαύστου πάθους, ὥστε πάντας τοὺς ἐν τῇ πόλει οἰκοῦντας μείζοσι καὶ μικροῖς κλαίειν καὶ βοᾶν ἐπὶ τῇ φανερώσει τοῦ υἱοῦ αὐτῶν καὶ συνδραμεῖν πάντας ἐκεῖσε.

Ἵνα δὲ μὴ ἡ σεμνὴ αὐτοῦ καὶ ἀμόλυντος πολιτεία παροραθῇ ἐν πνεύματι τῷ λαλοῦντι αὐτῷ παρέδωκε τὴν τιμίαν αὐτοῦ ψυχὴν τῷ Κυρίῳ. Τότε ἡ μήτηρ αὐτοῦ ἐπιλαθομένη τοῦ προειρημένου ὅρκου ἐξέδυσεν αὐτὸν τὰ ῥακώδη ἱμάτια καὶ ἐνέδυσεν αὐτὸν ἱμάτια χρυσόστημα καὶ πολύτιμα. Ἐνδυθέντος δὲ τοῦ Ἰωάννου ταῦτα εὐθέως ὅλη παρελύθη. Ὁ οὖν πατὴρ αὐτοῦ εἰς ἀνάμνησιν ἐλθὼν τῆς παραγγελίας αὐτοῦ ὅτι «μετὰ τῶν πενιχρῶν μου ἱματίων παράδοτέ μοι τῇ γῇ» εἶπε: «τὴν βουλὴν καὶ τὴν παραγγελίαν τοῦ τέκνου ἡμῶν ποιήσωμεν». Καὶ ἀποδυθέντος αὐτοῦ τὰ χρυσόστημα καὶ πολύτιμα (71r) ἱμάτια καὶ πάλιν τὸ ῥακώδη ἀμφιεσάμενος κατὰ τὴν αὐτοῦ κέλευσιν παραχρῆμα ἰάθη ἡ μήτηρ αὐτοῦ καὶ γέγονεν ὑγιής. Καὶ οὕτω κλαύσαντες ἐπὶ πολὺ καὶ συνδραμούσης πάσης τῆς πόλεως καὶ ὁ βασιλεὺς μαθὼν ταῦτα παρεγένετο καὶ τὰς τιμίας αὐτοῦ εὐχὰς ἐξῃτήσατο κατασπασάμενος αὐτόν, καὶ πᾶσα ἡ σύγκλητος καὶ ὁ κοινὸς ἅπας λαὸς ἀπὸ μικροῦ ἕως μεγάλου. Πολλοὶ δὲ οἱ ἀπὸ τῆς πόλεως οἰκοῦντες νόσους ἔχοντες διαφόρους συνέδραμον ἐν τῷ τοῦ ἁγίου λειψάνῳ. Καὶ ἰάσεις λαβόντες ἀπῄεσαν χαίροντες, δοξάζοντες τὸν Θεὸν τὸν ποιοῦντα θαυμάσια καὶ ἔνδοξα πράγματα ἐπὶ τοὺς φοβουμένους αὐτόν.

Καὶ οὕτως ἐπὶ τῷ νυχθημέρῳ ἐκείνῳ ἐκπληρώσαντες μετ᾽ οἰμωγῶν καὶ δακρύων πολλῶν ἐπὶ τῷ λειψάνῳ τοῦ ἁγίου παρακλητεύοντες τὸν Θεόν, ὅπως διὰ τῶν εὐχῶν αὐτοῦ ῥυσθῶσιν ἀπὸ παντὸς κινδύνου, κατέθηκαν αὐτὸν ἐν ἐκείνῃ τῇ καλύβῃ κατὰ τὴν αὐτοῦ πρόσταξιν εὐκτήριον ἀναστήσαντες οἶκον παμμεγέθη καὶ ναὸν πανεξαίρετον· δόντες οἱ γονεῖς αὐτοῦ ἐν ἐκείνῳ τῷ θειοτάτῳ ναῷ πᾶσαν τὴν ὕπαρξιν αὐτῶν καὶ ποιήσαντες καὶ ξενῶνα ἀφιέρωσαν εἰς ἀνάπαυσιν καὶ διακονίαν τῶν νοσούντων καὶ ξένων καὶ μοναχῶν καὶ πάντων τῶν μὴ ἐχόντων ἐξ ἰδίων μόχθων ἀνάπαυσιν. Καὶ διατα (71v) ξάμενοι οἱ γονεῖς αὐτοῦ πάντα τὰ αὐτῶν ἐκοιμήθησαν ἐν εἰρήνῃ καὶ ἐτάφησαν ἐν τῇ πόλει Κωνσταντίνου τοῦ Μεγάλου καὶ ἐν τῇ καλύβῃ τοῦ υἱοῦ αὐτῶν πλησίον τοῦ τάφου αὐτοῦ.

Αὕτη ἡ πολιτεία τοῦ ὁσίου πατρὸς ἡμῶν Ἰωάννου τοῦ Καλυβίτου. Οὗτος ὁ δρόμος τῆς ἀσκήσεως αὐτοῦ· οὕτω πατήσας τὸν ἀντικείμενον ἠξιώθη τοῦ βραβείου τῆς ἄνω κλήσεως ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ ἀνάρχῳ αὐτοῦ πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Σημ. Σελ. 279 στίχ. 2—3 πρβ. Ἰακ. 2, 5.
Σελ. 279 στίχ. 13—14 πρβ. Ματ. 25, 40—41.

Paris. *1449*, f. *280* r *Γ'*

Ὑπομνήματα τοῦ βίου καὶ τῆς πολιτείας τοῦ ὁσίου πατρὸς ἡμῶν Ἰωάννου τοῦ διὰ Χριστὸν πτωχοῦ καὶ Καλυβίτου.

Οὐ τὰ τῶν μαρτύρων ἆθλα καὶ αἵματα μόνον τὴν τοῦ Σωτῆρος ἡμῶν Χριστοῦ δόξαν καὶ τὸ κράτος ἀνακηρύσσει καὶ διὰ τοῦτο τιμᾶσθαι παρὰ τῶν ὁμοδούλων καθέστηκεν ἄξια, ἀλλὰ καὶ τῶν ἐν τοῖς ἀσκητικοῖς ἀγῶσι διαλαμψάντων οἱ πόνοι καὶ ἀγῶνες καὶ τὰ κατορθώματα. Δηλώσει δὲ καὶ ὁ καρτερικὸς Ἰωάννης, ὃς τῆς παρούσης διηγήσεως προβάλλεται τὴν ὑπόθεσιν.

Ἐν τῇ πόλει Κωνσταντίνου, Ῥώ(280 v)μην δὲ νέαν αὐτὴν καλοῦσιν, ἀνήρ τις ἐκόμα πλούτῳ καὶ τῷ τοῦ στρατηλάτου διέπρεπεν ἀξιώματι· ὄνομα δὲ αὐτῷ μὲν Εὐτρόπιος, τῇ συζύγῳ δὲ Θεοδώρα, εὐσεβεῖς δὲ ὄντες τῷ τρόπῳ καὶ τῷ σώφρονι τῶν ἠθῶν τὴν πίστιν οὐκ ἐνύβριζον. Τούτοις ἐγένοντο παῖδες τρεῖς, ὧν τοὺς μὲν δύο ἀξιωμάτων εἶχον λαμπρότητες καὶ τοῦ βίου τὰ φρυάγματα, τὸν δὲ νεώτερον, οὗτος δὲ ἦν ὁ Ἰωάννης, οἱ τεκόντες παρακατέσχον συνοικεῖν καὶ τοῖς μαθήμασιν ἐνασχολεῖσθαι. Ἐτῶν δὲ γεγονὼς δυοκαίδεκα εἴχετο μὲν τῶν μαθημάτων, μᾶλλον δὲ ἐσχόλαζε ταῖς ἐκκλησίαις, συμμελῳδὸς μὲν τῶν θεοπρεπῶν ᾀσμάτων τοῖς ἐκκλησιάζουσιν, ἀκροατὴς δὲ τῶν ἱερῶν ἀναγνωσμάτων καθιστάμενος.

Ἐν μιᾷ οὖν τῶν ἡμερῶν μοναχός τις τῆς μονῆς, ᾗ ἐπωνυμία οἱ Ἀκοίμητοι, εὐχὴν εὐξάμενος πορευθῆναι εἰς Ἱεροσόλυμα ξενίζεται ἐν τῇ τοῦ στρατηλάτου οἰκίᾳ, ὃν ἰδὼν ὁ φιλάρετος Ἰωάννης ἀνεπυνθάνετο πόθεν τε εἴη καὶ ποῦ πορεύοιτο καὶ τὶς ὁ τρόπος τῆς ἐν τῇ μονῇ συνασκήσεως. Ὁ δὲ τά τε ἄλλα σαφῶς διηγήσατο καὶ τὸν σκοπὸν τῆς ὁδοιπορίας οὐκ ἀπεκρύψατο.

Ὁ δὲ θεοφιλὴς Ἰωάννης τῆς χειρὸς λαβόμενος τοῦ μονάζοντος ὅρκοις αὐτὸν μυστικοῖς ἀσφαλίζεται, μετὰ τὴν ἐπάνοδον μὴ παρελθεῖν αὐτόν, συμπαραλαβεῖν δὲ καὶ ἀποκαταστῆσαι τῇ μονῇ. Τὸ δὲ κρύφιον καὶ μυστικὸν τῆς ἀναχωρήσεως εἰς τὸν πολὺν πόθον ἀνέφερε τῶν γονέων καὶ μάλιστα τῆς μητρός. Ἐπεκδιηγεῖτο δὲ ὅτι καὶ ἀξιώμασιν αὐτὸν καὶ γάμῳ μελετῶσι συνδῆσαι, ἃ καὶ (281 r) μᾶλλον τὸ τάχος καὶ τὸ κρύφιον τῆς φυγῆς ἐπιτείνει. «Ἐμὲ γάρ, φησίν, ἔρως τοῦ καθ' ὑμᾶς ἔλαβε σχήματος καὶ τῶν ἀγώνων καὶ τῆς συνασκήσεως». Ὁ δὲ μοναχός, συμπαραλαβεῖν αὐτὸν κατὰ τὴν ἐπάνοδον καὶ τὰ ἰδιολογηθέντα ἐν ἀπορρήτοις ἔχειν συνθέμενος, τὴν ἰδίαν ἤνυεν ὁδόν.

Ὁ δὲ σεβάσμιος Ἰωάννης τὸ πῦρ, ὅπερ ὁ τοῦ Χριστοῦ πόθος ἀνῆψε, φέρων ἐγκάρδιον καὶ εἰς φλόγα ἤδη πλατυνόμενον ἐπεδίδου μὲν ταῖς ἀρεταῖς, ἐζήτει δὲ καὶ παρὰ τῶν τεκόντων τὸ σωτήριον Εὐαγγέλιον, ὡς ἂν μᾶλλον τε διαγνοίη τὰ τοῦ δεσπότου προστάγματά τε καὶ δικαιωμάτων παραγγέλματα καὶ μᾶλλον εἴη τὸν πόθον ἐπιῤῥωνύμενος. Οἱ δὲ τὴν αἴτησιν ἡδέως τε καὶ περιχαρεῖς δεξάμενοι, καὶ μάλιστα ἡ μήτηρ, θᾶττον ἐπισκευασάμενοι τὸ Εὐαγγέλιον, ἵνα δὴ μὴ μόνον διὰ τῶν ἐγγεγραμμένων δεσποτικῶν ῥημάτων ὁ τοῦ Λόγου σπόρος ἐμβαθύνοιτο τῇ ψυχῇ, ἀλλὰ καὶ τὸ ἔξωθεν κάλ-

ος ἐπαλείφοι πρὸς τὰ ἔνδον, χρυσῷ καὶ λίθοις καὶ μαργαρίταις, ἔδει δὲ ἄρα καὶ τοὺς μακαρίους λόγους οὕτω τιμᾶσθαι, τὰς τοῦ Εὐαγγελίου πτυχὰς διεκόσμησαν. Ὁ δὲ τὸ Εὐαγγέλιον τῆς σωτηρίας ἐν ταῖς χερσὶ λαβὼν καὶ τῇ καρδίᾳ δεξάμενος τὴν εὐσέβειαν ἐκαρποφόρει σὺν ταῖς ἀρεταῖς τελειότερον.

Ἐπεὶ δὲ ὁ μοναχὸς ἐπανῆκε καὶ τὴν ὑπόσχεσιν οὐκ ἐψεύσατο, ἐνέπλησε μὲν χαρᾶς παραγεγονώς, ἀνεπτέρωσε δὲ τὸν ἔρωτα πλέον. Ἐγγίζοντος γὰρ τοῦ ποθουμένου μᾶλλον ἐνακμάζει τὸ φίλτρον. Διὸ ἐπισπεύδων ὁ θερμὸς Ἰωάννης λάθρᾳ συμ(281 v)παραλαβὼν τὸν μοναχόν, ἐδεδίει γὰρ τὰ δάκρυα τῆς μητρὸς μὴ κατασβέσωσιν αὐτοῦ τοῦ θείου πόθου τὴν φλόγα, παραγίνονται ἅμα ἐπὶ τὸν αἰγιαλὸν καὶ μισθωσάμενοι πλοιάριον ἀνήχθησαν εἰς τὴν μονήν.

Καὶ ὁ μοναχὸς ἀνατίθησι τὰ κατὰ τὸν Ἰωάννην τῷ καθηγουμένῳ αὐτοῦ, ἤγουν τῶν τεκόντων τὸ φίλτρον, τὰς ἀξίας, τὸν γάμον, τὸν θεῖον ἔρωτα τοῦ νεανίσκου καὶ τὴν ἐν τῷ λαθεῖν φυγήν. Ἰδὼν δὲ οὗτος τὸν Ἰωάννην καὶ πρὸς τὸ νέον ἀποδειλιάσας τῆς ἡλικίας λέγει πρὸς αὐτόν: «Τέκνον, φησί, νεότητος ἁπαλότης καὶ σφοδρότης πόνων οὐκ ἂν συνέλθοιεν ῥᾳδίως ἀλλήλοις, διόπερ ἐλάττων εἰμὶ τοῦ θαῤῥεῖν, ὥσπερ σὺ σπεύδεις καὶ ἐπιζητεῖς, οὕτω θᾶττον τῷ ζυγῷ σε τῶν ἀσκητικῶν ἀγώνων ὑποζεῦξαι. Δεῖ δή, εἰ μή τι ἄλλο, ἀλλ' ἐν χρόνῳ τεσσαράκοντα ἡμερῶν τὰ κατὰ τὴν μονὴν ἀναμαθόντα καὶ εἰ συμβαίνοι τῇ γνώμῃ, οὕτω τῆς ἐπιθυμίας τυχεῖν». Ὁ δὲ θερμὸς πρὸς σωτηρίαν Ἰωάννης πάντα ἐποίει καὶ ἔλεγε κλαίων, δυσωπῶν μὴ παρελθεῖν αὐτὸν ἀτέλεστον τὴν ἡμέραν ἐκείνην. Θεοῦ δὲ ἄρα βουλομένου συνέβη πάντα· πείθεταί τε καὶ ὁ ποιμὴν καὶ τοῖς τῆς μοναδικῆς αὐτῶν πολιτείας τελεσάμενος ὀργίοις τῷ χορῷ συγκαταλέγει τῆς λογικῆς ἀγέλης.

Ἐπὶ δὲ ἓξ ἔτη συνδιατρίψας αὐτοῖς καὶ ταπεινοφροσύνης μᾶλλον καὶ ὑποταγῆς τοῖς συνοῦσι παράδειγμα γεγονὼς ἢ λαβὼν ἀφορμάς, ὡσαύτως δὲ καὶ ἐγκρατείας καὶ προσευχῆς, θαῦμα πᾶσι καὶ ἀρετῆς διήγημα προὔκειτο.

Ἰδὼν δὲ τοῦ γένους (282 r) ὁ κοινὸς ἐχθρὸς τὴν ὑπεράνθρωπον ἐν τοῖς κατορθώμασι σπουδὴν τοῦ νέου καὶ πειρώμενος διὰ πάντων αὐτοῦ τῶν τῆς πονηρίας βελῶν βάλλειν τὸν ἀνταγωνιστήν, ἐκπίπτων δὲ διὰ πάντων τοῦ σκοποῦ, ἐπιμελῶς γὰρ ἀρεταῖς καὶ τῇ ἄνωθεν ἐπικουρίᾳ περιεπέφρακτο, ἐπὶ τὸν πόθον τῶν τεκόντων καὶ τὴν πρὸς αὐτοὺς συνήθειαν καταφλέγει, ἐλπίσας διὰ τοῦ δοκοῦντος ἔχειν τὸ ἀνεύθυνον δελεάσματος καὶ πρὸς τὰ ὑπεύθυνα ὑφελκῦσαί τε καὶ ἀνδραποδίσασθαι. Διὸ διὰ τῆς ἐπινοίας ταύτης οὐκ ἂν εἴη τιτρώσκων τὸν ἀθλητὴν ἕως αἱ φροντίδες αὐτοῦ οὕτω τὸ σῶμα κατεδαπάνησαν προδιατακὲν ὑπὸ τῆς ἐγκρατείας ὡς ἐγγὺς ἀγαγεῖν θανάτου.

Ὁ δὲ τῆς μονῆς ἡγεμὼν ἰδὼν αὐτὸν οὕτως ἐκδαπανηθέντα τῆς πολλῆς ἐπετίμα νηστείας καὶ ἀσκήσεως καὶ ὅτι τὸ ἐμβάλλειν ἑαυτὸν βιαίῳ θανάτῳ οὐκ ἀρετῆς, ἀλλ' ἀπονοίας καθέστηκεν. Ὁ δὲ τῆς εὐλαβείας καὶ τῆς ἀληθείας ἄνθρωπος οὐ νηστείας εἶναι τὴν τοῦ σωματίου σύντηξιν, πολέμου δὲ χαλεποῦ, ὃν ὁ τῆς φύσεως πολέμιος ἀνεκίνησε, «καὶ γὰρ ὁ μισάνθρωπος, φησίν, ἐν αὐτοῖς μέσοις τοῖς σπλάγχνοις πικρὰς ἐναφίησιν ἀκίδας καὶ τὸν πόθον κατ'

ἐμοῦ τῶν γεννησαμένων ἀκοντίζων καὶ τῆς θέας καὶ τῆς συνδιαγωγῆς, καὶ μὴ φέρων τὰ κέντρα τῆς πληγῆς καταδαπανῶμαι σὺν τῇ ψυχῇ καὶ τὸ σῶμα· ἀλλὰ γὰρ τὴν ἄνωθεν ἔχων συμμαχίαν, ὦ πάτερ, καὶ τὰς σὰς εὐχὰς ἐλπίζω ὡς καὶ πρὸς (282 v) τὸν πατρῷον οἶκον ἐπανελθὼν καὶ ὁρῶν τοὺς γεννήτορας ἐπὶ πλέον τε τὸν ἐχθρὸν καταισχυνῶ καὶ τὰ ἐπινοηθέντα τοῦ ἐχθροῦ κατ᾽ ἐμοῦ βέλη εἰς ἐκεῖνον ἀποτινάξω, μόνον ἐφόδιόν μοι γενέσθωσαν αἱ σαί προσευχαί». Ὁ δὲ καθηγεμὼν ἀκούσας παρὰ προσδοκίαν ταῦτα συνεσχέθη μὲν τοῖς λογισμοῖς, ἀνεμνήσθη δὲ τῶν κατ᾽ ἀρχὰς αὐτῷ λόγων εἰρημένων, οἵ τὸ νέον καὶ τοὺς πόνους ἀπέφαινον ἀσυμβάτους, καὶ ἐπιδακρύσας τούτοις ὅμως τῇ ἐπαύριον ἀθροίζει τοὺς ὑπ᾽ αὐτὸν μοναχοὺς καὶ ὁμοθυμαδὸν εὐχὴν ὑπὲρ αὐτοῦ τελεσάμενος ἐκτενῆ μετά τε πολλῶν δακρύων καὶ στεναγμῶν, κἀκείνου τὰ ὅμοια πάσχοντος «ὦ τέκνον, ἔφη, πορεύου ἐν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ ἁγίου πνεύματος, ἔχων συμπορευόμενον καὶ τὸν δεσπότην Χριστὸν καὶ ὁδηγοῦντά σε κατὰ τὸ θέλημα αὐτοῦ». Ὁ δὲ καὶ καθ᾽ ἕνα καὶ πᾶσι ὁμοῦ τοῖς ἀδελφοῖς συνταξάμενος κλαίουσι κλαίων ἔξεισι τῆς μονῆς καὶ συχνῶς ἐπεστρέφετο πρὸς αὐτὴν σπαραττόμενος τῇ μνήμῃ καὶ τῶν ἐν αὐτῇ ἄθλων καὶ τῶν ἀδελφῶν καὶ τῷ πάθει συνείχετο καὶ τοῖς δάκρυσιν ἕως ἂν ἐπιστρεφόμενος ὁρᾶν αὐτὴν ἠδύνατο.

Ὡς δ᾽ οὐκέτι μὲν αὐτῷ ἐβλέπετο ἡ μονή, αὐτὸς δὲ κατὰ μικρὸν ἀνελάμβανεν ἑαυτόν, καταλαμβάνει πένητά τινα ῥακοδυτοῦντα καὶ «χαίροις, ἀδελφὲ καὶ συνοδοιπόρε» ἀσπασάμενος, ἀποδύσασθαι μὲν τὰ ῥάκια ἀντιλαβεῖν δὲ τὴν ἑαυτοῦ στολὴν τὸν πένητα καταπράττεται. Καὶ ὁ μὲν ἦν ἐν τοῖς διερῥωγόσι ῥα(283 r)κίοις, τὸν δὲ περιέστελλε καὶ ἐκόσμει τὰ τοῦ Ἰωάννου ἱμάτια. Καὶ ἔχαιρον ἄμφω· ὁ μὲν τὸν Χριστὸν ἔχων καὶ ἐνδύσασθαι πιστεύων, ὁ δὲ σαπρῶν ῥακίων καὶ ῥυπώντων ἀπαλλαγείς.

Ὡς δὲ προσεπέλασεν ὁ ἀγωνιστὴς τῇ τῶν γεννητόρων οἰκίᾳ ἔῤῥιψεν ἑαυτὸν ἐπὶ πρόσωπον ἐπὶ τὴν γῆν καὶ προσηύξατο λέγων: «Κύριε Ἰησοῦ Χριστέ, ὁ καὶ φίλτρον τῇ φύσει ἐνθεὶς παῖδας γονεῦσι δεσμούμενος καὶ τοὺς τὸν εἰς σὲ πόθον τῆς φύσεως προτιμήσαντας ἀξίους τῆς σῆς ἀνειπὼν καὶ κλήσεως καὶ χρηστότητος, ὁ εἰδὼς ὅτι ἐκ νέας ἡλικίας ἐπεπόθησά σε ὑπεριδὼν πλούτου καὶ δόξης καὶ τεκόντων στοργῆς, μὴ ἐγκαταλίπῃς με μηδὲ παραχωρήσῃς με ἅρπαγμα γενέσθαι τοῦ ἐχθροῦ, ἀλλ᾽ εὐδόκησον καὶ ἐνίσχυσόν με καταισχύναι αὐτόν οἵς ἐκεῖνος ἐμηχανήσατο καταβαλεῖν ἐμέ». Καὶ ταῦτα μετὰ δακρύων προσευξάμενος ἐναπέῤῥιψεν ἑαυτὸν παρὰ τὴν πύλην τοῦ οἴκου τῶν γεννησαμένων αὐτόν.

Ὄρθρου δὲ λήγοντος καὶ τῶν πυλῶν κατὰ τὸ ἔθος διανοιχθεισῶν καὶ τοῦ πατρὸς μέλλοντος προϊέναι, ὁ τὰς δευτέρας ἔχων φροντίδας τῆς οἰκίας τοῦ πυλῶνος ἐξιὼν καὶ ἰδὼν ῥακοδυτοῦντα καὶ διερῥιμμένον τὸν τοῦ Θεοῦ θεράποντα, τίς εἴη, διεπυνθάνετο, καὶ «πῶς ὡς οὐκ ἐξὸν ἐναπέῤῥιψας σεαυτὸν κατὰ τὴν ὁδόν, δι᾽ ἧς οἱ ἐμοὶ προΐασι κύριοι». Ὁ δέ, καὶ πρὸ τῶν λόγων οἷα ἠμφίεστο περὶ τὰ ἑαυτὸν ὁμολογῶν, συνεμαρτύρει καὶ τοῖς λόγοις, καταλῦσαι δὲ ἐνταῦθα δι᾽ ἀπορίαν βίου καὶ σκέπης· καὶ δεῖται τοῦ δούλου ὁ δε-

σπότης (283 v) ἐλέῳ αὐτὸν δοῦναι καὶ καταλιπεῖν, ἐν ᾗ ἔκειτο τοίχου γωνίᾳ, τὸν ἐκ τοῦ κοινοῦ δεσπότου μισθὸν ἀνατείνων, ὃς ἐπήγγελται τοῖς ἐλεοῦσι τοὺς πένητας. Ὁ δὲ συμπαθήσας αὐτῷ καὶ τῆς ὄψεως καὶ τῶν ῥημάτων κατέλιπεν ἔνθα ἔκειτο.

Ἐν δὲ τῷ προϊέναι τοὺς γονεῖς ὁρῶν αὐτοὺς ὁ τοῦ Εὐαγγελίου γνήσιος μαθητής, καὶ κέντροις μὲν νυττόμενος τοῖς τῆς φύσεως, νόμοις δὲ τοῖς δεσποτικοῖς καὶ οὓς ἑαυτὸν μονάζων ἔθετο ἀνθελκόμενος καὶ ἑκατέρωθεν πιεζόμενος καὶ τοῖς πάθεσι συνδιασπώμενος, δακρύων ἠφίει λιβάδας· ὅμως δ' οὖν ὅλως γεγονὼς τῆς ἀγάπης τοῦ πλάσαντος καὶ τὴν φύσιν ὑποτάξας τῷ πνεύματι φωνὰς εὐχαριστηρίους καὶ ἱκεσίους ἀνέπεμπε, τὰς μὲν ὑπὲρ ὧν ἀνὰ κράτος κατήσχυνεν, οἷς ἐθάρρει τὸν ἐχθρόν, καὶ ἔτι δεόμενος τοῦ φρυάγματος αὐτὸν καθελεῖν, τὰς δὲ ὑπὲρ τῶν φύντων λέγων : «Τοὺς μὲν ἐμοὺς γονεῖς, ὦ δέσποτα, εὐχαριστῶ σοι, ὅτιπερ οὐχ ὡς ὁ ἐχθρὸς ἐπενόει, τῇ δὲ σῇ συμμαχίᾳ ἐθεασάμην. Καὶ τὴν μὲν πληγὴν ὀξυτέραν ἐδεξάμην, τὸν δὲ τῆς καρτερίας τόνον οὐ διελυσάμην. Καὶ τὰ μὲν ἐκείνου βέλη κατ' αὐτοῦ ἀπετιναξάμην, τὸν πρὸς σὲ δὲ ἔρωτα κραταιότερον καὶ ἐνακμάζοντα μᾶλλον ἐκτησάμην. Δὸς δέ μοι μέχρι τέλους ἐν τοῖς αὐτοῖς ἀγῶσιν ἀθλοῦντα καταβαλεῖν μὲν τὸν πολέμιον, τῶν δὲ παρὰ σοῦ τυχεῖν ἐπάθλων καὶ τοὺς σοὺς δούλους, ἐξ ὧν προήγαγές με διατήρησον ἐξ ἐπηρείας πάσης τοῦ ἐχθροῦ τῆς σῆς προνοίας διὰ παντὸς ἀ (284 r) ξίους δεικνύς». Ταῦτα καὶ τὰ τοιαῦτα εὐξάμενός τε καὶ προσευχόμενος ἐνιαυτὸν δὲ ἤνυσεν ὅλον μηδενὸς ἐκ τῆς πατρικῆς οἰκίας ἀξιούμενος.

Μετὰ δὲ ταῦτα ὁ πατὴρ θαυμάζων τὸ καρτερικὸν τοῦ νέου παιδὸς καὶ ἀπόρου καὶ πένητος εἰς νοῦν ἐβάλετο μὴ ἂν εὐθείας προνοίας παρεῤῥῖφθαι αὐτὸν πρὸ τοῦ πυλῶνος, δι' ὅπερ ἀπὸ τῆς καθημερινῆς τραπέζης τὰ πρὸς τροφὴν διεπέμπετο. Ἡ δέ γε τοῦ ὁσίου μήτηρ ἡ οὕτως περὶ τοῦ παιδὸς κοπτομένη τε καὶ διαφλεγομένη τὰ σπλάγχνα ἐν τῷ προϊέναι τῆς οἰκίας ἐπεὶ τὸν υἱὸν εἶδεν ἐῤῥυπωμένον καὶ ἀπεσκληκότα, ῥακοδυτοῦντα καὶ συντετηγμένον, σκυθρωπὸν καὶ ἄγριον βλέποντα, ὥσπερ κακὸν οἰωνόν, ὃν ὑπερηγάπα μισαχθεῖσα καὶ ἀποκλίνασα κελεύει τοὺς παῖδας τὸν φίλτατον ὑφελκῦσαι τῆς προόδου. Καὶ ὁ μὲν ἀπεσύρη τῆς μητρῴας ὄψεως, οὐκ ἀπεσύρη δὲ παντελῶς τοῦ χωρίου, ἀλλ' ἔκειτο πάλιν πλησίον καὶ καλύβην χόρτου καὶ φορητοῦ ποιησάμενος ὡς ἐν θαλάμῳ τῇ ὕβρει διέτριβεν, ἃ δε παρὰ τοῦ πατρὸς αὐτῷ εἰς τροφὴν ἀπεστέλλετο ἄλλων πενήτων ἐποιεῖτο τράπεζαν οὐδὲν αὐτῶν προσφερόμενον, ἀλλαχόθεν δὲ τοῦ σώματος ὅσον συνεῖχε μόνον ἐσιτεῖτο τὴν διάλυσιν καὶ τοσοῦτον ἀπελεπτύνθη τῇ ἀκριβείᾳ τῆς διαίτης ὡς καὶ τὰ τῆς φύσεως ἔνδον μυστήρια διὰ τοῦ δέρματος καθορᾶσθαι.

Τρία δὲ ἔτη αὐτῷ τὸν οὕτω φλογώδη καὶ διάπυρον διεμέτρησεν ἆθλον· (284 v) πόθος γονέων ἐν ὀφθαλμοῖς καὶ παντελὴς ἀποστέρησις, ὕβρις δούλων καὶ καρτερίας ἐπαύξησις, ἀποστροφὴ μητρὸς τῆς ὑπερποθούσης καὶ τῷ ποθουμένῳ οἵαπερ ποθῶν κατεῖχε τὸν πόθον καὶ οἷς ποθούμενος ἐβδε λύσσετο, φιλοσοφίας τῆς ἄκρας ὑπόθεσις φιλοξενία πατρός, ἄλλους μὲν δε-

ξιουμένη, τὸν δὲ φιλοξενούμενον οὐδὲν θεραπεύουσα. Ταῦτα ὁ τῶν ἀδήλων ἐπόπτης καὶ τῶν ἐπιδήλων ἀδέκαστος καὶ φιλάνθρωπος ἐξεταστὴς εἰς ἀμοιβὴν ἄγων ὄναρ ἐπιφαίνεται αὐτῷ καὶ δίδωσι τὴν χαρὰν χαίρειν προσειπὼν καὶ εὐαγγελίζεται τὴν ἀνάλυσιν τὴν πρὸς αὐτὸν καὶ τῶν ἀσκητικῶν ἄθλων καὶ τῆς ἄλλης καρτερίας τὰ ἔπαθλα καὶ ὡς ἡ τρίτη ἡμέρα ἐπιδείξει τὰ εὐαγγέλια.

Διαναστὰς δὲ τοῦ ὁράματος κλαυθμὸν δὲ ἔκλαιε γλυκύν, προσηύχετο μὲν καὶ ηὐχαρίστει τῷ Θεῷ: «Εὐχαριστῶ σοι», λέγων, «Θεὲ πολυέλεε καὶ φιλάνθρωπε, ὅτι ἀνάξιον ὄντα με τοιαύτης ἠξίωσας χαρᾶς καὶ εὐαγγελίων· μνήσθητι δὲ ἐν οἰκτιρμοῖς καὶ εὐμενείᾳ καὶ τῶν ἐμῶν γονέων, δέομαί σου, παρορῶν αὐτῶν τὰ ἐν βίῳ ἁμαρτήματα, ἀντιπαραθεὶς αὐτοῖς τὸ πέλαγος τῆς σῆς εὐσπλαγχνίας». Καὶ μετὰ τὴν εὐχὴν μετακαλεῖται τὸν ἐπὶ τῆς οἰκίας ἐφεστηκότα δευτέρων φροντίδων καὶ λέγει αὐτῷ, ἀπελθεῖν μὲν αὐτὸν πρὸς τὴν ἰδίαν κυρίαν καὶ εἰπεῖν «ὁ παρὰ τὴν πύλην ἐρριμμένος πένης δυσωπεῖ λέγων μὴ ὑπερίδῃς ξένον καὶ πτωχὸν καὶ πένητα, ἀλλὰ καταξίωσον παρα (285 r) γενέσθαι· ἔστι γάρ μοι καί τις λόγος πρὸς σέ». Ὡς δὲ ἤκουσεν ἐκείνη ταῦτα, «ἄρα τί ἔστι ὃ θέλει, φησίν, ὁ πτωχὸς ἐκεῖνος εἰπεῖν». Ὅμως οὖν ἀνατίθησι τὴν μετάκλησιν τοῦ πένητος τῷ ἀνδρί. Ὁ δὲ «τοὺς πτωχούς, φάμενος, ἐξελέξατο ὁ Θεός», συνεβούλευσεν ἀπελθεῖν. Ὡς οὖν ἐβράδυνεν ἡ μήτηρ πρὸς τὸν ποθούμενον μὲν ἀγνοούμενον δὲ παραγενέσθαι, ὁ δὲ τὴν ἀνάλυσιν μὲν ἐνισταμένην εἰδώς, δεδιὼς δὲ μήποτε γνωσθεὶς μετὰ θάνατον ὅστις εἴη λαμπρᾶς ἐκφορᾶς παρὰ τῆς μητρὸς τύχῃ, ὕβρις γὰρ ἦν αὐτῷ καὶ ζῶντι καὶ μετὰ θάνατον ἡ πρόσκαιρος τιμὴ καὶ ταύτην ἐσπούδαζεν ἐκτεμεῖν, πάλιν δηλοποιεῖ ἐκ δευτέρου ὡς «ἐγὼ μὲν μετὰ τρεῖς ἡμέρας ἀφ' οὗ τὸ πρῶτον ἐμήνυσα τοῦ βίου ἐξάγομαι, σὺ δὲ εἰ μὴ παραγένῃ καὶ ἴδῃς με μετανοοῦσα ὕστερον οὐδὲν ὠφελήσεις». Τότε κελεύει τοῖς παισὶν ἀγαγεῖν αὐτὸν κατ' ἐνώπιον αὐτῆς.

Ἦχθη οὖν ἐγκαλυψάμενος καὶ λέγει πρὸς αὐτήν: «Ὁ μισθὸς ὑμῶν τῆς ξενοδοχίας ἤδη πεπλήρωται· τὰ γὰρ εἰς ἐμὲ τὸν ἄστεγον καὶ ξένον καὶ ἄπορον ὁ κοινὸς δεσπότης ὁ δι' ἡμᾶς πτωχεύσας ἀναδέχεται· καὶ γὰρ αὐτὸς ἔφη: «Ἐφ' ὅσον ἐποιήσατε ἑνὶ τούτων τῶν ἀδελφῶν μου τῶν ἐλαχίστων, ἐμοὶ ἐποιήσατε». Πλὴν πένης ὢν καὶ ἄπορος τῶν ἐν τῷ βίῳ πάντων εὐλογίαν τινὰ σοὶ βούλομαι καταλιπεῖν. Ὑπὸ μάρτυρι δὲ τῷ κοινῷ δεσπότῃ καὶ ἐφόρῳ καὶ λόγων καὶ πράξεων καὶ ἐξεταστῇ κατακρίνω σε ἵνα τελευτήσαντα μήτε ἄλλοις ἱματίοις ἐνταφιασθῆναί με παραχωρήσῃς μήτε ἐν ἄλλῳ τόπῳ, ἀλλ' ἐν ᾧ ἔπηξα τὴν (285 v) καλύβην μου». Καὶ ταῦτα εἰπὼν ἐγγύας λαβὼν παρ' αὐτῆς ὡς φυλάξαι οἷα ἐπέσκηψεν, ἐπιδίδωσιν αὐτῇ τὸ Εὐαγγέλιον «ἔστω σοι τοῦτο καὶ τῷ σῷ ἀνδρὶ τῷ κυρίῳ μου, φάμενος, καὶ τοῦ παρόντος βίου φυλακτήριον καὶ πρὸς τὸν μέλλοντα ἐφόδιον». Ἡ δὲ δεξαμένη τὸ δῶρον ἐθαύμαζεν ὅπως τοῦτο περιῆλθε τῷ πένητι· περιέστρεφε δὲ καὶ ἐσκοπεῖτο καὶ «πολλὴν φέρειν, ἔλεγεν, ὁμοιότητα πρὸς τὸ Εὐαγγέλιον, ὅ ποτε ἐπεδόθη τῷ τέκνῳ ἡμῶν». Καὶ ἅμα τῇ θέᾳ τοῦ Εὐαγγελίου καὶ τοῖς λόγοις εἰς μνήμην τοῦ ἀπολωλότος ἐλθοῦσα, οὕτως γὰρ ἔπειθεν αὐτὴν τὸ ἀφανὲς τοῦ παιδὸς καὶ

ἡ ἄγνοια, δάκρυσι ἀνεπισχέτοις κατερῥαίνετο καὶ στεναγμοῖς οἷα δὴ νῦν τοῦ παιδὸς ἀποσπωμένη κατεκόπτετο· μόλις δὲ ἑαυτὴν ἀναλαβοῦσα ὑποδείκνυσι τῷ ἀνδρὶ τὸ δῶρον. Ὁ δὲ παραχρῆμα ἀνεγνώρισε καὶ ἀνοιμώξας καὶ συνταραχθεὶς τὰ ἔνδον «οὐκ ἄλλο εἶναι ἀλλ᾽ ἐκεῖνο, ὃ παρ᾽ ἡμῶν ὡς ἔοικε τῆς μακρᾶς ἀποδημίας ἐφόδιον ἐπεδόθη τῷ υἱῷ ἡμῶν· ἀλλ᾽ ἀπέλθωμεν πρὸς τὸν πένητα πολυπραγμονήσαντες πόθεν εἴληφεν αὐτό· ἴσως γὰρ καὶ ἕτερόν τι τῶν ἀδοκήτων ὁ πένης ἡμῖν χαρίσεται». Ὡς δὲ παραγεγονότες ὅρκοις αὐτὸν φρικτοῖς διελάμβανον μὴ φέρων ἐπιορκεῖν, λοιπὸν γὰρ καὶ τοῦ τύφου καὶ τῆς κενοδοξίας ὁ ἐπὶ θύραις θάνατος κωφὰ τὰ βέλη καὶ ἄπρακτα ἐποίει, μηκέτι δὲ μηδὲ τὴν ταραχὴν τῶν σπλάγχνων ἔνδον κατέχειν δυνάμενος, ἀνακλαυσάμενος. «Ἐγώ, φη (286 r) σίν, εἰμὶ Ἰωάννης ὁ υἱὸς ὑμῶν καὶ τὸ Εὐαγγέλιον τοῦτό ἐστιν, ὃ ὑμεῖς σωτηρίας ὁδηγὸν μοὶ συνεστήσατε».

Τότε ὁ πατὴρ καὶ ἡ μήτηρ καὶ διὰ τῶν ῥημάτων καὶ διὰ τῆς ὄψεως, ἐπέβαλλον γὰρ μᾶλλον τῷ χαρακτῆρι, ἐπιγνόντες τὸν υἱὸν αὐτῶν γοερῶς τε καὶ θρηνητικῶς ἐπέπεσον ἐπὶ τὸν τράχηλον αὐτοῦ. «Ὦ τέκνον», ἀνακαλούμενοι, «ὦ πολυώδυνον κέντρον γονέων, ὦ πληγὴ καὶ δαπάνη σπλάγχνων, ὦ ἀνεύρεσις πικροτέρα τῆς ἀποτυχίας· αὕτη γὰρ καὶ αὐτὰ τὰ λείψανα τῶν ἐλπίδων προσαφείλατο. Οἷα πεποίηκας ἡμῖν, ὦ τέκνον· εἴθε σιγῶν ἀπέστης· οὐκ ἂν γὰρ τέλεον ἡμῶν ἐναπέσβεσας τὰς ἐλπίδας, ἐπανήξει, οὐκ ἂν διὰ παντὸς ἐπιλήσεται τῶν γεννητόρων τοῦ φίλτρου, ποθεινότερος καὶ ἡδίων ὀφθήσεται διὰ τοῦ χρόνου· νῦν δὲ ἐπανῆκες, ἀλλ᾽ ὡς οὐκ ὢν ὤφθης ἀλλ᾽ ἡμῖν μὴ ὁρώμενος ἐφάνης, ἀλλ᾽ ὅτε ὁ θάνατος εἰς τὴν ἀπέραντον ἐκδημίαν σὲ ἐκπέμπει πάντα οἴχεται ἡμῖν· ἔχομεν γὰρ ὃν οὐκ ἔχομεν, ὡς αὐτὸ ἐπιδείξας οὐχ᾽ ἵνα τὴν λύπην ἀφέλῃς, ἀλλ᾽ ἵνα τὸ ἄλγος ἐπιτείνῃς». Ταῦτα καὶ τὰ τοιαῦτα ἐπικείμενοι τῷ υἱῷ καὶ τὰ πολλὰ μηδὲ συναισθανομένῳ, ἀφῄρει γὰρ λοιπὸν ἐφεστὼς ὁ θάνατος τὴν συναίσθησιν, ὠλοφύροντο καὶ τὸν ὀδυρμὸν ὥραι πλείους διετράνουν ἢ τέσσαρες.

Ἐν δὲ τῷ θρηνεῖν αὐτοὺς καὶ κόπτεσθαι ὁ καλλίνικος ἀγωνιστὴς τὴν ἱερὰν αὐτοῦ καὶ πολύαθλον ψυχὴν εἰς χεῖρας ἐναπέθετο τοῦ ἀθλοθέτου. Καὶ ἤχησεν ἡ πόλις τήν τε ἀνεύρεσιν τοῦ θαυμαστοῦ Ἰωάννου καὶ τοὺς ἄθλους καὶ τὴν (286 v) ἐν τοῖς ἄθλοις ἀποβίωσιν καὶ πάντες ἐδόξαζον τὸν Θεόν. Ἡ δὲ μήτηρ εἴτε τῷ συνέχοντι πάθει ἢ τῷ πόθῳ νικωμένη ἀποδύει μὲν αὐτὸν τῶν ῥακίων, ἐνδύει δὲ πολυτελεστάτοις ἀμφιάσμασι καὶ παραυτίκα παράλυσις αὐτὴν εἶχε τῶν μελῶν. Ὁ δὲ πατὴρ ἐπιστὰς ἀνέμνησε μὲν τὴν γυναῖκα τὴν τοῦ παιδὸς κατάκρισιν καὶ ἀποδυθέντος τοῦ διὰ Χριστὸν πτωχεύσαντος τὴν πολυτέλειαν καὶ ἀντιπεριβληθέντων τῶν ῥακίων εἰς τὴν προτέραν ὑγείαν αὐτίκα ἡ παρειμένη ἐπανέστρεψε.

Θάψαντες δὲ τὸν γενναῖον Χριστοῦ στρατιώτην ἐν τῇ καλύβῃ, οὐ γὰρ ἐτόλμα τις ἐπὶ τοὺς ἐκείνου λόγους ἀθετεῖν, καὶ ἐγείραντες οἶκον εὐκτήριον ἐν αὐτῇ ἐν τῷ τελευτᾶν αὐτοὺς τῆς περιουσίας αὐτῶν τὰ μὲν διένειμαν πένησι τὰ δὲ τῷ εὐκτηρίῳ ἀφιέρωσαν. Καὶ αὐτοὶ τὸν βίον ἐν εὐσεβείᾳ καὶ ἐλέῳ καὶ

1 σωφροσύνῃ, ἔδει γὰρ ἐν τοῖς γονεῦσι πρὸ τῶν ἄλλων τὸ ἐνεργὸν τῆς ἐκείνου προσευχῆς ἐπιδειχθῆναι, ἐν εἰρηναίᾳ τελευτῇ μετηλλάξαντο. Ἀλλ' ὁ πολυτρόπως τὴν τῶν ἀνθρώπων σωτηρίαν πραγματευόμενος εὐδόκησον ταῖς τοῦ σοῦ γνησίου θεράποντος πρεσβείαις καὶ ἡμᾶς τοὺς ταπεινούς, τῆς σῆς
5 γὰρ ἐσμὲν χειρός, μὴ εἰς τέλος φέρειν κατάστικτον πάθεσι μηδὲ κίβδηλον καὶ ἀσχημονοῦσαν κηλιδώμασι τὴν εἰκόνα τῆς σῆς ὁμοιώσεως, ὅτι σοὶ πρέπει ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

Σημ. *Σελ. 284, 2—3 πρβ. Ματ. 19, 21—22. Σελ. 285, 17—18 πρβ.* Ἰακ. *2, 5. Σελ. 285, 30—31 πρβ. Ματ. 25, 40—41.*

Σχόλιον. *Τὸ κείμενον καὶ ἐν τῷ κώδικι* Paris. *1556 καὶ ἐν* Paris. *1449 δὲν ἔχει ὀρθῶς, ἀλλὰ εἴτε κατὰ τὴν ἀλλεπάλληλον ἀντιγραφήν, εἴτε κατὰ τὴν εἰς ἁπλουστέραν διατύπωσιν τούτου, ὑπέστη ἀλλοιώσεις καὶ παραφθοράς. Ὡς καὶ ἐν ἀρχῇ ἐδηλώσαμεν, ἀπεφύγομεν τὴν διόρθωσιν ἀναμένοντες τὴν δημοσίευσιν καὶ τῶν ἄλλων μαρτύρων τοῦ ἡμετέρου κειμένου, ὅτε θὰ καταστῇ δυνατὴ ἡ κριτικὴ ἔκδοσις τούτου. Ἐν τούτοις εἴς τινα σημεῖα, σημειούμενα κατωτέρω, ἀπεμακρύνθημεν τοῦ ἐν τῷ κώδικι κειμένου. Οὕτω:*

Ὁ Paris. *1556 ἔχει : Σελ. 273, 31* πληροφορήσας· *Σ. 275, 24* ἀπελθόντες· *Σ. 275, 37* λέγων· *Σ. 276, 6* ἑαυτόν· *Σ. 277, 14* προελθῆναι· *Σ. 278, 11* ἀποστρέφεσθαι· *Σ. 278, 15* ἔτι *(ἀντὶ* ὅτι*)*· *Σ. 279, 5* λέγουσα· *Σ. 279, 11* ἡ ἔχουσα οὗτον· *Σ. 279, 21* ἃ *(ἀντὶ* ὧν*)*· *Σ. 279, 28* ὃ· *Σ. 279, 40* καθεζόμενος.

Ὁ Paris. *1449 ἔχει : Σ. 283, 85* διανοιχθέντων· *Σ. 286, 34* ἐνδύει μὲν αὐτὸν τῶν ῥακίων *(λανθασμένως δὶς γράφεται).*

Paris. *789*, **p.** *477* *Δ'*

Μηνὶ τῷ αὐτῷ ιε'

Βίος καὶ πολιτεία τοῦ ὁσίου πατρὸς ἡμῶν Ἰωάννου τοῦ διὰ Χριστὸν πτωχοῦ.

Τυραννικόν τι χρῆμα τεκόντων στοργὴ καὶ δεσμὰ φύσεως ἄφυκτα καὶ πόθος ἀεὶ ζέων (1), *καὶ σβεσθῆναι ποτὲ μὴ δυνάμενος. Ἀλλ' ὅ γε δεσπότης καὶ τούτων εὐκόλως κελεύει καταφρονεῖν καὶ τὸν σταυρὸν αἴρειν ἐπ' ὤμων* (2) *καὶ αὐτῷ προθύμως ἀκολουθεῖν, ἅτε δὴ καὶ αὐτὸς πολλῷ γεννητόρων πλέον τὸ πρὸς ἡμᾶς φίλτρον ἐπιδειξάμενος. Ἰωάννης δὲ νῦν, ἡ* (3) *τοῦ λόγου ὑπόθεσις, πληρῶν ἡδέως* (4) *τὴν ἐντολὴν ταύτην δείκνυται. Ἰωάννης ἐκεῖνος, ὁ πτωχὸς μὲν ἐπικληθεὶς πλούσιος δὲ γεγονὼς τὸν πλοῦτον τοῦ πνεύματος, (478) διόπερ ἄνωθεν τὰ ἐκείνου λεγέσθω καὶ φιλοθέοις ψυχαῖς οἱονεί τις ὁδὸς εἰς ἀρετὴν προτιθέσθω* (5), *ἣν καὶ αὐτὸς διελθών, ἔργῳ τοῖς βουλομένοις ὑποδεικνύναι δύναται. Ἔχει δὲ οὕτως.*

Ἐν τῇ λαμπρᾷ ταύτῃ (6) *καὶ βασιλίδι τῶν πόλεων, τῇ Κωνσταντίνου φημί, νέαν δὲ Ῥώμην αὐτὴν οἶδε πᾶς* (7) *ὀνομάζειν, ἀνήρ τις ἐκόμα πλούτῳ πολλῷ ζῶν ἐπὶ γυναικὶ καὶ τῷ τοῦ στρατηλάτου τιμώμενος ἀξιώματι. Ὄνομα τῷ ἀνδρὶ Εὐτρόπιος, τῇ γυναικὶ Θεοδώρα, εὐσεβεῖς ἀμφότεροι, οὐ κατὰ κόσμον περίβλεπτοι μόνον, ἀλλὰ καὶ χρηστότητι τρόπων ἐπιεικῶς σεμνυνόμενοι. Τούτοις γίνονται παῖδες τρεῖς, ὧν τοὺς μὲν δύο ἀξιωμάτων λαμπρότητες καὶ ἡ ἄλλη τοῦ βίου εἶχεν* (8) *εὐδαιμονία, ὁ δέ γε νεώτερος ὁ καλὸς οὗτος Ἰωάννης ἦν, ὃς ἔσχατος ὤν, εὐαγγελικῶς εἰπεῖν, πρῶτος γέγονεν. Οὗτος δὴ* (9) *παρὰ τοῖς τεκοῦσιν ἔτι διέτριβε καὶ μαθημάτων εἴχετο καὶ παιδείας ἐπεμελεῖτο καὶ τούτοις εἵλετο πλουτεῖν μᾶλλον* (10), *ἢ χρήμασιν, οὐκ ἀποβλέψας εἰς ματαιότητας καὶ μανίας ψευδεῖς, ὥσπερ ἄρα τῷ θείῳ Δαυὶδ καλῶς ᾄδεται. Ἔτος δὲ ἤδη τῆς ἡλικίας δωδέκατον γεγονώς, τοῖς μαθήμασιν ἐμμελῶς* (11) *μᾶλλον δὲ ταῖς ἐκκλησίαις νύκτα καὶ μεθ' ἡμέραν ἀπησχολεῖτο, καθάπερ τὶ φυτὸν εὖγε (479) νὲς τῇ τῶν θείων ἀκροάσει λογίων* (12), *ἃ καὶ διέξοδοι τῶν ὑδάτων ὄντως εἰσίν, ἀδιαλείπτως ἀρδόμενος καὶ ἀρετῆς καρπὸν ἥδιστον* (13) *προβαλλόμενος.*

Τίτλος: *Μηνὶ τῷ αὐτῷ ιε'* P_1 P_3 P_6. *Ἰανουρίου ιε'* P_4 *εἰς τὰ δεκαπέντε* P_5.

Βίος καὶ Πολιτεία τοῦ ὁσίου πατρὸς ἡμῶν Ἰωάννου τοῦ διὰ Χριστὸν πτωχοῦ, P_1 P_2 P_3. *Βίος . . . πτωχοῦ καὶ τοῦ Καλυβίτου* P_4. *Βίος τοῦ ὁσίου πατρὸς ἡμῶν Ἰωάννου τοῦ Καλυβίτου* P_5. *Βίος . . . Ἰωάννου τοῦ Καλυβίτου* P_6.

Κείμενον: *1) ζέων* P_1. *2) ὤμων τε* P_3 *3) ἡ* om P_1. *4) ἡδέως* om P_1. *5) καὶ φιλοθέοις ψυχαῖς οἱονεί τις ὁδὸς εἰς ἀρετὴν προτιθέσθω* om P_6. *6) λαμπροτάτῃ* P_5. *7) πάντες* P_1. *8) εἶχεν* om P_5 P_6 *9) δὲ* P_5 P_6. *10) πλουτεῖν εἵλετο μᾶλλον* P_2 P_3 P_4 P_5 I_6. *11) μαθήμασιν ἐμμελῶς* om P_5. *12) καθάπερ τί φυτὸν εὐγενὲς τῇ τῶν θείων ἀκροάσει λογίων* om P_5. *13) ἥδιστον* bis scrib. P_5 P_6 *ἤδη καρπὸν ἥδιστον* P_1.

1 Ποτὲ γοῦν (1) τις τῶν ἐν τῇ μονῇ μοναχῶν, ἢ τῶν Ἀκοιμήτων ὠνόμασται, θείῳ τοῦ παρὰ τὰ Ἱεροσόλυμα γενέσθαι πόθῳ ληφθεὶς καὶ πορείας ἤδη τῆς πρὸς αὐτὰ φερούσης ἅπτεσθαι μέλλων, κατά τινα δὲ χρείαν τὴν Κωνσταντίνου πόλιν (2) εἰσελθών, ἐπιξενοῦταί που πλησίον τῆς τοῦ στρατηλάτου
5 οἰκίας. Ὅν (3) Ἰωάννης ἰδὼν καί τι καὶ πρὸς μόνην τοῦ μοναχοῦ τὴν θέαν παθών, οἱονεί τις δαλὸς πρὸς πυρὸς ἁφὴν ἑτοιμώτατος, ἐρωτᾶν ἤρξατο καὶ πυνθάνεσθαι παρ' αὐτοῦ ἐφ' ᾧ τε ἥκοι καὶ ὅθεν εἴη καὶ τὶς ἡ τοῦδε μονὴ καὶ τὶς ἄρα καὶ οἷος ὁ τῆς ποίμνης ταύτης λογικῶς προϊστάμενος. Τοῦδε καὶ τὴν μονὴν εἰπόντος καὶ τὸν προεστηκότα (4) καὶ τὴν καλέσασαν εἰς τὴν
10 Κωνσταντίνου χρείαν διασαφήσαντος, ἀλλὰ καὶ τὸν σκοπὸν αὐτῷ τῆς μελλούσης ἀποδημίας κρύψαντος οὐδαμῶς, ἑώρα γὰρ ἀκοὴν διψῶσαν πνευματικῶν ἐννοιῶν, ὁ χρηστὸς οὗτος Ἰωάννης ὑπολαβών, ὅπως τε διάγοιεν κατὰ τὴν μονὴν καὶ ὅπως αὐτοῖς ἔχοι τὰ τῆς ἀσκήσεως ἐπηρώτα πάλιν. Ἐπεὶ δὲ καὶ ταῦτα κατὰ μέρος ὁ μοναχὸς διηγεῖτο, ἡδέως ἄγαν ἐπὶ τούτοις ὁ Ἰωάν-
15 νης (5) (480) διέκειτο, γλυκέα τε τῷ λάρυγγι αὐτοῦ τὰ εἰρημένα ἐδόκει καὶ ὑπὲρ μέλι τῷ στόματι, ἀσκήσεώς τε αὐτὸν ἤδη τοιαύτης ἐλάμβανε (6) πόθος καὶ ἱδρώτων ἤρα πνευματικῶν. Ἀμέλει καὶ λαβόμενος αὐτοῦ τῆς χειρὸς λαθραίοις τὸν μοναχὸν ἀσφαλίζεται ὅρκοις μὴ παρελθεῖν αὐτὸν μετὰ τὴν ἐπάνοδον, ἀλλὰ μεθ' ἑαυτοῦ κρύφα παραλαβεῖν, ὥστε μὴ τοὺς τεκόντας αἰ-
20 σθέσθαι τὴν ἀναχώρησιν, εἶτα καὶ τῇ μονῇ διὰ τάχους ἐναποκεῖραι. «Ἤδη γάρ με καὶ γάμῳ δῆσαι, φησίν, οἱ γονεῖς μελετῶσι καὶ εἰς ἀξιωμάτων ἀρχὰς ἀγαγεῖν καὶ κοσμικῇ προσηλῶσαι δόξῃ καὶ φαντασίᾳ, ὅπερ ἀληθῶς ἀνδρὶ ἐλευθέρῳ εἶναί τε καὶ λέγεσθαι βουλομένῳ δουλεία σαφής. Ἐμὲ γὰρ τοῦ καθ' ὑμᾶς βίου θερμὸς ἀεὶ πόθος ἔχει καὶ διὰ τοῦτο διψῶ μᾶλλον ὑμῖν
25 συναριθμηθῆναι καὶ τοῦτο ἥγημαι δόξαν ἀληθῆ καὶ τιμὴν βεβαίαν καὶ οἱονεὶ σφραγῖδα τῆς ἐκεῖθεν μακαριότητος».

Συνθεμένου δὲ αὐτῷ καὶ τοῦ μοναχοῦ καὶ ὅρκοις τὰς συνθήκας πιστωσαμένου, αὐτὸς μὲν εἴχετο τῆς προκειμένης ὁδοῦ, ὁ δὲ σπινθὴρ τοῦ κατὰ Θεὸν ἔρωτος ἐκεῖνος (7) ὑπετρέφετό τε καὶ ηὔξανεν ἐν τῇ τοῦ Ἰωάννου ψυχῇ καὶ
30 πολὺς ὁ πρὸς Χριστὸν αὐτὸν (8) ἀνέφλεγε πόθος καὶ συνεῖναι τούτῳ καὶ νοερῶς ὁμιλεῖν ἐγλίχετο. Τί οὖν ποιεῖ; Θεῖον Εὐαγγέλιον αὐτῷ (481) γραφῆναι παρὰ τῶν τεκόντων ἐπιζητεῖ, κατὰ τοὺς θερμοὺς ἐραστάς, οἳ καὶ αὐτοῖς (9) ἀεὶ τοῖς τῶν ἐρωμένων (10) λόγοις ἡδέως ἐνδιατρίβουσι καὶ ἱκανὸν τοῦτο τοῦ πόθου (11) νομίζουσι παραμύθιον. Οἱ γοῦν τεκόντες, καὶ (12) μᾶλλον (13)
35 ἡ μήτηρ, τὸ θερμότατον χρῆμα περὶ τὰς τῶν παίδων ἐπιθυμίας καὶ προχειρότατον, ἀσμένως τὴν τοῦ ποιδὸς αἴτησιν δεξάμενοι καὶ πολλῷ πλέον ὅτι μὴ ἐσθὴς ἦν πολυτελὴς μηδὲ λαμπρὰ δή τινα καὶ φιλότιμα ὑποδήματα ἢ ἄλλη κατὰ νέον ἐπιθυμία, ἀλλ' οὕτω θεοφιλὴς καὶ σπουδαία, σὺν πολλῷ τῷ

1) οὖν P_1. 2) Κωνσταντινούπολιν P_3 P_4 P_5. 3) ὃν ὁ P_1. 4) προεστῶτα P_6. 5) ὁ Ἰωάννης ἐπὶ τούτοις P_3. 6) ὑπελάμβανεν P_1. 7) ἐκείνου P_1. 8) ἀνέφλεγεν αὐτὸν P_2. 9) αὐτοὶ P_1. 10) ὁρωμένων P_5. 11) ποθουμένου P_6. 12) καὶ om P_5. 13) μάλιστα P_1.

τάχει τὸ Εὐαγγέλιον ἀπαρτίζουσιν ὕλης πολυτελείᾳ καὶ τέχνης εὐκοσμίᾳ καὶ θαυμαστῇ τινὶ καλλιγραφίᾳ τὰ ἔνδον τε καὶ τὰ ἔξω καταφαιδρύναντες, ὡς ἐπαγωγὸν εἶναι καὶ μόνῃ τῇ ὄψει πρὸς διηνεκῆ τριβὴν ἐφέλκεσθαι καὶ μελέτην τὴν Ἰωάννου ψυχὴν οὐκ εἰδότες οἷον αὐτὸν οἴκοθεν κέντρον δριμυτάτου (1) φημὶ τοῦ κατὰ Χριστὸν ἔρωτος πρὸς τοῦτο κινεῖ καὶ ὅτι λελήθασι καθ' ἑαυτῶν τὸ πρᾶγμα ποιοῦντες. Ἡ γὰρ συνεχὴς ἐκείνου μελέτη καὶ ὁμιλία μετὰ μικρὸν καὶ αὐτῆς ἔμελλε τῆς φυσικῆς πρὸς τοὺς γεγεννηκότας φιλοστοργίας λήθην αὐτῷ ἐμποιεῖν καὶ πράγματος οὕτως ἰσχυροῦ καὶ ἀμάχου (2) καταφρονῆσαι, (482) τῆς φύσεως. Ἀλλ' ὁ μὲν ὡς (3) ἐπόθει λαμβάνει παρὰ τῶν τεκόντων τὸ Εὐαγγέλιον.

Ἤδη δὲ καὶ ὁ μοναχὸς ἐπανῆκε μὴ ψευσάμενος τὰς ἐπαγγελίας, πηγὴ ὕδατος, ὀφθαλμοῖς ἐλάφου τῷ Ἰωάννῃ φανεὶς καὶ μυρίας αὐτὸν ἐμπλήσας τῆς ἡδονῆς. Ὅθεν ὡς εἰς ἔργον ἀρξαμένης αὐτῷ ἤδη τῆς ἐπιθυμίας ἐκβαίνειν ἔσπευδεν αὐτῇ (4) καὶ πέρας ἐπαγαγεῖν καὶ δήτα (5) τὸ Εὐαγγέλιον ἐκ τῆς οἰκίας ἀναλαβών, παραλαβὼν δὲ καὶ τὸν μοναχόν (6), οἷα σὺν αὐτῷ πρὸς τὴν διατριβὴν ὡς χθὲς καὶ πρώην ἀπιέναι μέλλων—ἐδεδίει γὰρ τὸ τῶν γονέων πρὸς αὐτὸν φίλτρον, μάλιστα δὲ τὰ τῆς μητρὸς δάκρυα μὴ τοῦ θείου πόθου τὸ πῦρ αὐτῷ κατασβέσωσι—κλέπτει τὴν ἀναχώρησιν. Καὶ πρὸς τὴν διατριβὴν μὲν οὐκ ἀπῄει, παρὰ δὲ τὴν θάλασσαν ἐχώρει τὸ τάχος, ἀλλ' ἐπεὶ καί τις τῶν ἀκολούθων παῖς αὐτῷ εἵπετο καὶ τοῦτον ὁ (7) Ἰωάννης ἐκπέμπει δῆθεν ἐπί τινα χρείαν, σοφῶς ἑαυτῷ καὶ φρονίμως τὸ ἐκ πάντων προδιοικούμενος ἀδιάγνωστον. Αὐτὸς δὲ ἅμα τῷ μοναχῷ πρὸς τὸν αἰγιαλὸν ἀφικόμενοι πλοίου τε τινὸς εὐθὺς ἐπιβάντες καὶ πνεύματος ἐπιφόρου τυχόντες, εἰς τὴν μονὴν (8) ὀξέως καταίρουσι, χρυσίῳ τοῦ Ἰωάννου τὰς τῶν ναυτῶν ἐπιῤῥώσαντος χεῖρας καὶ οὕτω ταχὺν (9) γενέσθαι τὸν ἀπόπλουν πα (483) ρασκευάσαντος (10).

Ἀποβάντων δὲ τῆς νηὸς καὶ ὡς αὐτὸν ἅμα τὸν ἀφηγούμενον τῆς μονῆς ἀνελθόντων, ὁ μοναχὸς μὲν ἀπαγγέλλει τὰ τοῦ Ἰωάννου πάντα (11) κατὰ μέρος αὐτῷ, τὴν (12) λαμπρότητα τοῦ γένους, τὴν ἐπιφάνειαν τῶν τεκόντων, τὸ περὶ αὐτὸν φίλτρον, τὸ προσδοκώμενον ἀξίωμα, τὸν μελετώμενον γάμον, εἶτα καὶ τὸν περὶ τὰ θεῖα τοῦ παιδὸς ἔρωτα, τὰς πρὸς αὐτὸν συνθήκας καὶ τοὺς ὅρκους καὶ τέλος τὴν φυγὴν καὶ τὴν ἀναχώρησιν. Ἰδὼν δὲ καὶ αὐτὸς (13) τὸν Ἰωάννην ὁ τῆς μονῆς προεστὼς καὶ τοῦτο μὲν τὸ νέον τῆς ἡλικίας, τοῦτο δὲ καὶ τὴν προτέραν τοῦ νεανίσκου διαγωγὴν ὑπολογισάμενος καὶ δείσας μήποτε οὕτως (14) ἐλευθερίως ἀνατραφεὶς πόνου τε καὶ κακοπαθείας ἄγευστος ὢν οὐ δυνηθείη πρὸς οὕτω ἐργώδη διαγωγὴν ἀντισιῆναι, ἀλλὰ ταχέως ἀπαγορεύσει καὶ μάλα ῥᾳδίως τὸν τῆς ἀσκήσεως ζυγὸν (15) ἀποσείσηται —ᾔδει γὰρ ὅτι θερμαὶ μὲν αἱ τῶν νέων ὁρμαὶ πρὸς ὅπερ ἂν καὶ τὴν ῥοπὴν

1) δριμύτατον P_1. 2) καὶ ἀμάχου om P_1. 3) ὡς om P_1. 4) αὕτη P_1. 5) δὴ P_3. 6) παραλαβὼν δὲ καὶ τὸν μοναχὸν om P_3. 7) ὁ om P_4. 8) εἰς τὴν οὕτω καλουμένην τῶν Ἀκοιμήτων μονὴν P_1. 9) ταχὺ P_2. 10) κατασκευάσαντος P_1. 11) ἀπαγγέλλει πάντα τὰ τοῦ Ἰωάννου P_3 πάντα om P_1 P_5. 12) τήν τε P_1. 13) αὐτὸν P_3. 14) οὗτος P_2. 15) ἀγῶνα P_1.

ἐπιδείξωσι, πλὴν οὐκ ἐπίμονοι οὐδὲ διαρκεῖς (1), ἀλλ' ἀψίκοροι λίαν καὶ τὴν ταχίστην μεταβαλλόμενοι (2)—τοῦτο ἐκεῖνος εἰδώς, μετακαλεσάμενος αὐτόν πατρικῶς παρῄνει καὶ οὕτως ἀσφαλίζεσθαι τὸ ἐκείνου πρόθυμον ἐπειρᾶτο «ἐναντίον σοι, λέγων, καὶ τῆς (484) ἀγωγῆς (3) καὶ τῆς ἡλικίας, ὦ τέκνον, παραπολὺ τὸ ἐγχείρημα· σὺ μὲν γὰρ ἔτι παῖς, τό τε νέον τὸ σὸν πολλῆς ἀπέλαυσεν ἀπόνου καὶ διωμαλισμένης ἀνατροφῆς, ὁ δὲ καθ' ἡμᾶς βίος ἐπίπονος καὶ τραχὺς καὶ ταλαιπωρίᾳ διηνεκεῖ προσανέχων. Δέδοικα γοῦν (4) μὴ τὸ ἁπαλόν σου καὶ ἀμελέτητον ὅλως κακοπαθείας πόνων, ἀθρόως περιτυχὼν ἀμετρίᾳ, εὐθὺς ἀποκάμῃ καὶ τῷ φιλοπόνῳ προσοχθίσαν τῆς ἀρετῆς ῥαθυμίαν ἀσπάσῃται, ὡς ἐντεῦθεν μὴ πρὸς σὲ μόνον ἀλλὰ καὶ πρὸς πολλοὺς ἄλλους διαβῆναι τὴν βλάβην. Χρὴ οὖν σὲ τεσσαρακοστὴν (5) ἡμέραν τὸ ἀπὸ τοῦδε τῇ μονῇ διατρῖψαι καὶ αὐτῇ πείρᾳ μαθεῖν ὅπως ἔχει τὰ κατ' αὐτὴν καὶ εἴ γε κατὰ σὴν ἴδοις χωροῦντα γνώμην καὶ δύναμιν, τηνικαῦτα δὴ καὶ τὴν μεθ' ἡμῶν διαγωγὴν ὑπελθεῖν (6) καὶ τυχεῖν τῆς ἐφέσεως».

Πρὸς (7) ταῦτα ἠνιάτο σφοδρῶς ὁ τὰ πνευματικὰ θερμὸς Ἰωάννης καὶ τί μὴ ἐποίει τῶν μαλάξαι καὶ κάμψαι ψυχὴν δυναμένων; Ἐδεῖτο συντόνως, ὅρκοις ἐπιστοῦτο τὴν εἰς τέλος ὑπομονήν, γονάτων ἥπτετο, θερμὸν αὐτῶν (8) καὶ περιπαθὲς κατέσταζε δάκρυον, μηδεμίαν ὑπέρθεσιν ἀξιῶν (9) τῷ πράγματι δοῦναι, ἀλλ' αὐθημερὸν αὐτὸν ἀποκεῖραι καὶ τῷ χορῷ συντάξαι τῶν ἀδελφῶν. Τοῦτο δὲ ἐποίει, οὐ διὰ πολὺν ἁπλῶς τοῦ πράγματος πόθον, ἀλλ' ἵνα (10) καὶ τῆς (11) πρὸς αὐτὸν ἐπι(485)θυμίας τῶν γεννητόρων κατασοφίσηται μάλα φρονίμως, τῷ ἀκουσθῆναι ἤδη ἀποκειράμενος τὴν ἐπάνοδον αὐτοῖς ἀπελπίζων. Οὐκ ἔχων οὖν ὅτι καὶ δράσειε πρὸς τὰς πολλὰς ἐκείνας δεήσεις καὶ τὰ θερμὰ δάκρυα εἶξεν ὁ τῆς μονῆς προεστὼς καὶ τὰς συνήθεις εὐχὰς αὐτῷ ἐπειπὼν καὶ ὅσα νόμος μοναχοῖς ἐν τούτῳ τελέσας κείρει τε παραχρῆμα τὰς τοῦ νεανίσκου τρίχας καὶ συναποκείρει φιλαλήθως εἰπεῖν πᾶν ὅσον κοσμικόν τε καὶ περίγειον φρόνημα καὶ τὸ μοναχικὸν αὐτῷ περιβάλλει σχῆμα καὶ τῇ ὑπ' αὐτῷ (12)ποίμνῃ συγκαταλέγει, ὥστε τῆς αὐτῆς ἡμέρας ὁ Ἰωάννης καὶ τῇ μονῇ προσδραμὼν ὤφθη καὶ μοναχὸς ἀπεδείχθη οὐ τῷ σχήματι μόνον, ἀλλ' ἀκριβῶς καὶ τῷ πράγματι.

Πάντως δὲ οὐ χρὴ προσθεῖναι καὶ περὶ τῶν γονέων εἰ τοῦ παιδὸς ζήτησιν ἐποιοῦντο. Δῆλον γάρ, εἴπερ αὐτοὶ μὲν γονεῖς, οὗτος δὲ παῖς ἐκείνων, καὶ παίδων ὁ φίλτατός τε καὶ σπουδαιότατος. Εἰ δὲ καὶ αὐτόθεν πάλιν ἀνακύπτει τὸ ἄπορον εἰ γὰρ ζήτησις ἦν, πῶς ἄρα καὶ διέλαθεν εἰς τέλος ὁ παῖς, καίτοι γε μὴ (13) μακρὰν ὑπάρχων μηδὲ πολλοῦ τοῦ μέσου τῆς τε (14) πόλεως ὄντος καὶ τῆς μονῆς; Ἕτοιμον εἰπεῖν πάντως ἀπ' αὐτοῦ τοῦ πράγματος καὶ τοῦ τέλους λαβόντας τὰς (486) ἀφορμάς, ὅτι τοῦ Θεοῦ κρύψαντος κἀκείνου τοῦτο οἰκονομήσαντος τὸ λαθεῖν, ἵνα μὴ λάθῃ ψυχῆς εὐγένεια καὶ προαίρεσις ἀγαθὴ κατορθοῦν τοιαῦτα καὶ βουλομένη καὶ δυναμένη.

---

1) οὐδὲ ἀρκεῖς P_5. 2) μεταβαλλομεναι P_6. 3) διαγωγῆς P_1. 4) οὖν P_1. 5) σαρακοστὴν P_5. 6) ἐπελθεῖν P_6. 7) πρὸς om P_1. 8) αὐτοῦ P_1. 9) ἀξιῶν ὑπέρθεσιν P_3. 10) ἵνα om P_6. 11) τῆς om P_5. 12) αὐτὸν P_2 P_6. 13) μὴ om P_5. 14) τε om P_1 P_5 P_6.

Ὁ μὲν οὖν Ἰωάννης ἕκτον ἐξ ἐκείνου χρόνον συνδιατρίβει τοῖς μοναχοῖς, ταπεινοφροσύνης μᾶλλον καὶ ὑπακοῆς δοὺς ἀφορμὰς ἢ λαβὼν καὶ πάσης ἄλλης ἀρετῆς οἱονεί τις κανὼν αὐτοῖς καὶ ἀρχέτυπον, πᾶσι μὲν θαυμαστὸν ὀλίγοις δὲ μιμητὸν γενόμενος (1), ἅπερ ἐλύπει σφοδρῶς τὸν κοινὸν τοῦ γένους ἐχθρόν. Καὶ πρᾴως ἐνοικεῖν οὐ δυνάμενος (2) τῶν συνήθων εἴχετο δόλους πλέκων αὐτῷ καὶ ἐπιβουλὰς καὶ ὑποσκελίσαι φιλονεικῶν ὁ ἐξ ἀρχῆς τοῖς ἀγαθοῖς ἀντικείμενος τὸν ἀτεχνῶς μισοπόνηρον. Ἀλλὰ διὰ πάντων ὁμοίως ἀποκρουσθείς, ἀσφαλὴς γὰρ ὁ Ἰωάννης τῇ τε ἄνωθεν ἐπικουρίᾳ καὶ τοῖς ὅπλοις τῶν ἀρετῶν, ἕτερον αὐτῷ πόλεμον ἐπεγείρει, πόλεμον ὄντως χαλεπὸν καὶ δυσφύλακτον.

Ἀναμνήσας γὰρ αὐτὸν γονέων φιλοστοργίας καὶ πατρὸς σπλάγχνων καὶ μητρὸς ὠδίνων καὶ τῶν ἄλλων ἀναγκαιοτήτων τῆς φύσεως, εἰς ἔρωτα τὸν Ἰωάννην κινεῖ φιλτάτης πᾶσι καὶ γλυκυτάτης πατέρων ὄψεως. Καὶ πολὺς τῇ τοῦ νέου ψυχῇ ὁ ἐκείνων ἔρως ἐντετηκώς, ἐπέτριβέ (3) τε αὐτοῦ τὸ σῶμα (487) καὶ ἰσχυρῶς ἐδαπάνα τῇ πολλῇ ἐγκρατείᾳ πεπονηκώς, ὡς σχεδὸν ἐπὶ νεκρῷ ἤδη καὶ βραχὺ πνέοντι ἐπικρέμασθαι αὐτῷ τὴν ψυχήν. Ὁ γοῦν τῆς μονῆς προεστὼς οὕτω δεινῶς αὐτὸν ἐκτετηκότα ὁρῶν τῆς πολλῆς ἐπετίμα νηστείας, οἵα μόνης αὐτῆς εἶναι τὴν τῆξιν οἰόμενος, τῷ βιαίῳ θανάτῳ περιβαλεῖν ἑαυτὸν οὐκ ἀρετῆς εἶναι λέγων ἀλλ' ἐσχάτης φανερῶς ἀπονοίας. Ὁ δὲ πρὸς ἀλήθειαν ζῶν καὶ σκηνῆς πάσης ἀπηλλαγμένος καὶ ὑποκρίσεως, «οὐκ ἀσιτίας, ὦ πάτερ, εἶπεν (4), οὐδὲ τῆς περὶ τὴν γαστέρα ἐγκρατείας ἡ πολλὴ τῆξις ἥδε τοῦ σώματος, ἀλλὰ πολέμου σαφῶς χαλεπωτάτου, ὃν ἐξ αὐτῆς μοι τῆς φύσεως (5) ὁ ἄνωθεν ἡμῖν ἐκπολεμωθεὶς ἐχθρὸς (6) ἀνεῤῥίπισεν· εἰς πόθον γὰρ οὐκ οἶδ' ὅπως τῶν γεγεννηκότων με συγκινήσας (7) καί μοι δριμὺν ἔρωτα τῆς ἐκείνων ὄψεως ἐμβαλὼν δαπανᾷ ὡς ὁρᾶν ἔχεις καὶ τήκει με κηρῷ ἴσως τηκομένῳ πυρὶ καὶ ἠρεμεῖν ὅλως ἢ βραχεῖαν τινὰ γαλήνην ἄγειν τὴν ψυχὴν οὐκ ἐᾷ. Διὰ τοῦτο δέομαί σου, πάτερ, ἐπιτρέψαι (8) μοι τὴν πρὸς ἐκείνους ἐπάνοδον. Ὁ μὲν γὰρ ἐχθρὸς ἤλπισε τόνδε τὸν τρόπον ὑποσκελίσαί μοι (9) καὶ ταράξαι τὰ πρὸς Θεὸν διαβήματα. Ἐγὼ δὲ πεποιθὼς εἰμι ταῖς σαῖς ἁγίαις εὐχαῖς ὅτι καὶ τὸν πρὸς τοὺς γε (488) γεννηκότας πόθον ἀφοσιώσομαι καὶ τῷ ἐχθρῷ συμμαχοῦντός μοι Χριστοῦ οὐ ματαίας μόνον ἀποδείξω τὰς ἐλπίδας, ἀλλὰ καὶ τὴν ἥτταν αὐτῷ (10) περιτρέψω». Τούτων οὕτω παρ' ἐλπίδα πᾶσαν ἀκούσας ὁ τῆς μονῆς ἀφηγούμενος ἀθυμίᾳ δεινῇ τὴν ψυχὴν συνεσχέθη καὶ τῆς προτέρας ἤρξατο τὸν Ἰωάννην ἀναμιμνήσκειν θερμότητος, ὅπως τε αὐτὸς ἀδυσώπητος ἦν τὸ πρῶτον, ὥστε μὴ παραδέξασθαι τοῦτον εἰς τὴν μονήν, τίνας τε πρὸς αὐτὸν ἐποιεῖτο λόγους καὶ ὁποῖα παρῄνει καὶ ὑπετίθετο, εἶτα βραχὺν τινὰ χρόνον ἐπισχὼν καὶ τοῖς εἰρημένοις ἐπιδακρύσας καὶ τοῦτο σύμβολον δοὺς τῆς εἴσω λυπουμένης καρδίας, ἔωθεν

1) γενόμενον P_1. 2) ἅπερ ἐλύπει σφοδρῶς τὸν κοινὸν τοῦ γένους ἐχθρὸν καὶ πρᾴως ἐνοικεῖν οὐ δυνάμενος om P_5. 3) ἔτριβε P_1. 4) εἶπεν, ὦ πάτερ, P_2 P_3. 5) χαλεπωτάτου φύσεως P_6 τῆς om P_3. 6) ἐχθρὸς om P_1. 7) γονέων συγκινήσας P_1. 8) ἐπίτρεψαι P_1 P_5 P_6. 9) μὲ P_4. 10) γλῶτταν αὐτοῦ P_6.

ἀθροίζει τοὺς ὑπ' αὐτῷ μοναχοὺς καὶ κοινῇ πάντων ὑπὲρ αὐτοῦ εὐξαμένων πικρόν τι στενάξας ἐκεῖνος καὶ συγχυθεὶς καὶ εἰς πλείονα κατενεχθεὶς δάκρυα— τοιοῦτον γὰρ ὁ Ἰωάννης αὐτῷ πόθου κέντρον ἐνῆκεν εἰς τὴν ψυχὴν καὶ ἦν ἀληθῶς πρόβατον τῷ (1) ποιμένι ποθεινόν τι καὶ δυσαπόσπαστον—«πορεύου φησί, ὦ τέκνον, ὑπὸ Θεῷ τῆς πορείας ταύτης ἐφόρῳ καὶ ὁδηγῷ καὶ ταῖς ἐντολαῖς ἐκείνου καὶ τοῖς θελήμασι». Ὁ δὲ καθ' ἕνα καὶ πᾶσιν ὁμοῦ κλαίουσι κλαίων τοῖς ἀδελφοῖς καὶ ὥσπερ οὐκ ἀφιέντας μὴ ἀφιείς, ἀλλ' ὑπὸ τοῦ πόθου (489) τοῦ πατρικοῦ (2) καὶ ἄκων αὐτῶν διασπώμενος καὶ τυραννίδος ἔργον μᾶλλον ἢ προαιρέσεως ὑφιστάμενος πᾶσιν ὁμοῦ συνταξάμενος καὶ ὀδυνομένων σφόδρα καὶ αὐτὸς κατώδυνος γεγονὼς ἔξεισι τῆς μονῆς πυκνὰ περιστρεφόμενος πρὸς αὐτήν, ἕως οἱ ὀφθαλμοὶ ἐξικνοῦντο (3), καὶ τῇ μνήμῃ τῶν ἐν αὐτῇ πνευματικῶν ἄθλων καὶ τῆς ἡδίστης ἐκείνης τῶν ἀδελφῶν συναυλίας τὰ σπλάγχνα διακοπτόμενος. Ἐπεὶ δὲ οὐκέτι αὐτῷ ἡ μονὴ καθωρᾶτο, κατ' ὀλίγον ἀναλαμβάνων τοὺς λογισμοὺς καὶ τῆς πολλῆς ἐκείνης ἀνανήψας ἀθυμίας τε καὶ συγχύσεως, πένητι τινὶ ἐντυχὼν ῥακοδυτοῦντι πρὸς τῇ ὁδῷ καί, «χαίροις, ἀδελφέ, προσειπών, καὶ συνοδοιπόρε», ἀποδύεται μὲν εὐθὺς (4) ὡς εἶχε τὸν ἑαυτοῦ χιτῶνα καὶ τὸν πένητα ἀμφιέννυσι, τὰ ῥάκια δέ παρ' ἐκείνου πάλιν (5)—ἀντιλαβών, ἅπερ ὁ πένης ἠμφίεστο, ἑαυτῷ περιβάλλει. Καὶ ὁ μὲν ἐν τοῖς διερρωγόσι τούτοις τρύχεσιν ἦν, ὁ δὲ πένης τὸ Ἰωάννου πάλιν ἱμάτιον περιέκειτο. Ἔχαιρον οὖν ἑκάτερος, ὁ μὲν πρὸς τὰ παρόντα βλέψας, ὁ δὲ πρὸς τὰ ἐλπιζόμενα καὶ τοῦ Χριστοῦ (6) μιμήσασθαι τὴν πτωχείαν καὶ τὴν ἐκείνου ἀγαπῆσαι ταπείνωσιν.

Ἤδη δὲ καὶ τὴν θάλασσαν διαπεράνας (7) ὁ Ἰωάννης καὶ τοῦ πατρῴου οἴκου πλησίον γενόμενος (8), βάλλει μὲν εἰς ἔδαφος ἑαυτόν, ἄνω δὲ τὴν διάνοιαν πρὸς (490) Θεὸν (9) ἐπάρας καρδίαν τε συγκινήσας καὶ ὀφθαλμοὺς εἰς δάκρυα, «Κύριε ὁ Θεός, εἶπεν, ὁ τὴν θαυμασίαν ταύτην καὶ παναρμόνιον κτίσιν παραγαγών, αὐτόν τε τὸν ἄνθρωπον (10) οἰκείᾳ χειρὶ δημιουργήσας, τὸ σοφόν σου κτίσμα καὶ περικαλλὲς καὶ φιλότιμον, ὁ καὶ φίλτρον (11) τῇ φύσει πρὸς τοὺς τεκόντας ἐνθεὶς ἰσχυρόν τι (12) καὶ ἄμαχον, καὶ σὲ πάλιν καὶ αὐτῆς προτιμάσθαι νομοθετήσας τῆς φύσεως, ἵνα καὶ λογισμὸν δείξῃς φυσικῶν παθῶν βιαιότερον καὶ προαίρεσιν εὐγενῆ φύσιν ὅλως νικᾶν δυναμένην. Ὁ πλάσας κατὰ μόνας τὰς καρδίας ἡμῶν, οὗ τὰ βλέφαρα ἐξετάζει τοὺς υἱοὺς τῶν ἀνθρώπων, σὺ Κύριε, οἶδας ὅτι ἐκ νεαρᾶς ἔτι τῆς ἡλικίας (13) ἐδίψησέ σε ἡ ψυχή μου καὶ φύσεως ἐπιλέλησμαι διὰ σὲ καὶ στοργῆς ἠλόγησα πατρικῆς καὶ πλούτου καὶ δόξης καὶ τρυφῆς ὑπερεῖδον, δεύτερα πάντα τοῦ πρὸς σὲ θέμενος φίλτρου, αὐτὸς καὶ νῦν ὑπὸ τοῦ πονηροῦ τυραννουμένῳ παράστηθί μοι καὶ μὴ ἐγκαταλίπῃς με, ἀλλ' εὐδόκησον δι' ἐκείνων γενναίως (14) καταβαλεῖν αὐτόν, δι' ὧν ἐκεῖνος μᾶλλον τὴν καθ' ἡμῶν ἐπιβουλὴν συνεσκεύασε».

1) τῷ om P_1. 2) πνευματικοῦ P_2. 3) ἐξικνῦντο P_2. 4) εὐθέως P_5. 5) πάλιν παρ' ἐκείνου P_2. 6) τῷ Χριστοῦ P_2 P_3 P_6 τὸ Χρ. P_4 P_5. 7) διαπεράσας P_1 P_4 P_5 P_6. 8) γεγονὼς P_1. 9) πρὸς οὐρανὸν P_1. 10) οὐρανὸν P_1 P_2 P_3 P_4 P_6. 11) καὶ ὁ φίλτρον P_1. 12) τε P_1 P_5. 13) ἐκ νεαρᾶς ἡλικίας P_2. 14) om P_1.

Ταῦτα προσευξάμενος τῷ Θεῷ ῥίπτει καθάπερ τις ἐπαίτης, καὶ τούτων δὴ τῶν ἀστέγων παντάπασι (1) καὶ ἀβίων, ἐλεεινῶς ἑαυτὸν πρὸς τῷ τῶν γονέων πυλῶνι, ἄγνωστος ὅλως εἶναι (491) βουλόμενος οὐκ ἀγνώστοις καὶ οὕτω δὴ πανσόφως θεραπεῦσαί τε ὁμοῦ καὶ νικῆσαι τὴν βίαν τῆς φύσεως. Ὀρθρου δὲ λήγοντος ἤδη καὶ τοῦ πυλῶνος κατὰ τὸ ἔθος διανοιγέντος (2), ἰδὼν αὐτὸν ὁ τὴν φροντίδα τοῦ οἴκου πεπιστευμένος ῥακοδυτοῦντα δεινῶς καὶ τρύχη (3) διεῤῥωγότα καὶ πιναρὰ περικείμενον, τίς τε εἴη, διεπυνθάνετο, καὶ ὅθεν ἥκοι. Ἡμαύρωσε γὰρ ἡ πολλὴ τοῦ σώματος τῆξις τὰ παράσημα τῆς μορφῆς (4) καὶ ἀσαφῆ ὅλως διέθηκε τὰ γνωρίσματα. «Πῶς οὖν, φησίν, οὕτω κατεκλίθης πρὸ τῆς εἰσόδου, δι' ἧς οἱ δεσπόται τοῦδε τοῦ οἴκου προΐασιν;» Ὁ δὲ πένης εἶναι διωμολόγει καὶ τὴν στολὴν εἶχε ταῦτα συμφθεγγομένην, ἔλεγε δὲ διὰ βίου σπάνιν καὶ στέγης ἔνδειαν ὧδε καταλῦσαι. «Μὴ οὖν ἀπώσῃ, φησί, σοὶ γὰρ ἐγκαταλέλειμμαι ὁ πτωχός, ἀλλ' οἶκτον τῆς ἐμῆς (5) πενίας λαβὼν ἔασον οὕτω τὸν ἄθλιον ἐν ταύτῃ μὲ τῇ γωνίᾳ κεῖσθαι». Τοιαῦτα ὁ δεσπότης ἐδεῖτο τοῦ δούλου καὶ οὐκ ᾔδειτο τὴν δέησιν οὐδὲ δήλην ἐποίει τὴν δεσποτείαν, ἐκεῖνον μιμεῖσθαι βουλόμενος τὸν πλοῦτον θεότητος καὶ δεσποτείαν (6) ἐν πτωχείᾳ σαρκὸς κρύψαντα. Καὶ γὰρ ἦν καὶ αὐτὸς πεπαιδευμένος καρδίαν ἐν σοφίᾳ, καθάπερ ᾄδει Δαβίδ, καὶ τὸν σοφὸν ἐν κακίᾳ φρονήσει τοῦ ἀγαθοῦ πνεύματος (492) καταβαλεῖν ἔσπευδεν. Ἐλεήσας οὖν αὐτὸν ὁ τῆς πατρικῆς οἰκίας ἐπιμελούμενος (7) τῆς τε ῥακώδους καὶ ὅλως διεῤῥωγυίας περιβολῆς καὶ τῆς σκιώδους ἐκείνης καὶ τακερᾶς ὄψεως, παραχωρεῖ τὸ λοιπὸν αὐτῷ τῆς ἐκεῖ κατακλίσεως.

Ὁ μὲν οὖν ἔῤῥιπτο παρὰ τῷ πυλῶνι, ὁ παῖς τῶν γεγεννηκότων, βραχείᾳ τινὶ (8) καλύβῃ σκηνούμενος, ἀγὼν δὲ αὐτῷ μείζων ἦν καὶ γυμνάσιον, ἀλλήλοις μαχομένων τοῦ θεϊκοῦ τε πόθου, φημί, καὶ τοῦ φυσικοῦ, ἅτε τοῦ φυσικοῦ μὲν ἐν ταῖς ἐξόδοις τε καὶ εἰσόδοις τοῦ πατρὸς (9) ἐκείνου καὶ τῆς μητρὸς τὴν μνήμην τρανοτέραν κινοῦντος καὶ συστρέφοντος αὐτοῦ τὰ (10) σπλάγχνα καὶ τὴν καρδίαν ἐκλύοντός τε καὶ ὁμαλῶς ὑποσαίνοντος καὶ εἰς ἀναγνωρισμὸν ἐλθεῖν ἀναγκάζοντος, τοῦ θεϊκοῦ δὲ πάλιν ἀντέχοντός τε καὶ ἀντιπράττοντος καὶ παθαινομένην αὐτοῦ τὴν ψυχὴν καὶ τοῖς φυσικοῖς ἐπικλίνουσαν (11), οἷα χαλινῷ τῷ λόγῳ ταύτην ἀναχαιτίζοντος, καὶ τὴν νικῶσαν οὕτω λαμβάνοντος παραδόξως. Ὁποίαν δὲ καὶ τὴν πάλην εἶχε καὶ τὸν σάλον ὑφίστατο τῆς καρδίας τρυφῶντας μὲν τοὺς οἰκέτας ὁρῶν ἐπὶ τῆς ἑστίας τῆς πατρικῆς, ἑαυτὸν δὲ πεινῶντα, ῥυπῶντα, στέγης ἀποροῦντα καὶ περιβλήματος. Ταῦτα πάσχων ἔφερεν ὁ Ἰωάννης νευρώσας τὴν καρδίαν εὐτόνως (12) τῷ πρὸς Θεὸν πόθῳ. Δι' ὃ (493) καὶ ηὔχετο συνεχῶς «Δεσπότα κύριε, (13) λέγων, ὁ καὶ τὴν πατρικὴν οἰκίαν μοι ταύτην (14) δοὺς (15) καθορᾶν καὶ αὐτῆς (16) δὲ τῆς τῶν τεκόντων ἀπολαύειν ὄψεως, ὁ

1) παντάπασι τῶν ἀστέγων P_2. 2) ἀνοιγέντος P_1. 3) τρύχινα P_8. 4) τὰ παράσημα τῆς μορφῆς om P_5. 5) ἐμῆς ταπεινότητος καὶ P_5. 6) ἐκεῖνον μιμεῖσθαι βουλόμενος τὸν πλοῦτον θεότητος καὶ δεσποτείαν om P_4 τὸν πλούτῳ . . . δεσποτείας P_6. 7) ἐπιμελόμενος P_4. 8) τινὰ P_1 P_6. 9) πατρός τε P_1. 10) τὰ om P_4. 11) ὑποκλίνουσαν P_8. 12) om P_5. 13) κύριε om P_1. 14) ταῦτα P_6. 15) οἰκίαν ταύτην δούς μοι P_5. 16) ταύτης P_1.

ἐμὸς ὄντως πατὴρ καὶ δημιουργός, αὐτὸς μὲ καὶ τὸν ἐχθρὸν ἡττῆσαι τῇ σῇ δυνάμει καὶ καταβαλεῖν εἰς τέλος ἐνίσχυσον, ἵνα μὴ πόθος γονέων τοῦ πρὸς σὲ πόθου καὶ τῆς ἐλπίδος τῆς ἐπὶ σοὶ διαστήσῃ με». Ταῦτα καὶ τὰ τοιαῦτα τῷ Θεῷ προσευχόμενος ἐνιαυτὸν ὅλον παρὰ τῷ πυλῶνι τῶν τεκόντων διήνυσεν, ἀμελούμενός τε καὶ παρορώμενος ὁ γεννάδας, ἴσως δὲ καὶ τοῦ (1) ἐχθροῦ καὶ ταύτην διακακουργοῦντος αὐτῷ τὴν πυρόρασιν, ἵνα καὶ πλέον καθίκοιτο τῆς μεγάλης ὄντως καὶ θαυμασίας ψυχῆς. Ἤδη δὲ αὐτῷ τοῦ ἐνιαυτοῦ διαγεγονότος καὶ οὕτω κοινὸν ἐξουθένημα πᾶσι κειμένου ἐθαύμαζε καθ' ἑαυτὸν ὁ πατὴρ τὴν ὑπομονὴν οὐδὲν εἰδὼς ὅλως ὅτι πατὴρ ἦν τοῦ ἀπόλιδος ἐκείνου, τοῦ ξένου, τοῦ ἀστέγου, τοῦ πένητος. Εἶτα καί τις αὐτὸν εἰσήρχετο (2) ἔννοια, μὴ οὐκ ἄνευ λόγου τινὸς θειοτέρου πρὸς τῷ πυλῶνι αὐτοῦ ἐρρίπται, καὶ διὰ τοῦτο προνοίας τε τὸ λοιπὸν τῆς παρ' ἑαυτοῦ τὸν παῖδα ἠξίου καὶ σῖτα τῷ Ἰωάννῃ ἄφθονα καθ' ἑκάστην ἀπὸ τῆς αὐτοῦ τραπέζης ἐπέμπετο. Ἀλλ' ἐκεῖνος ὀλίγα τούτων, ὅσα πρὸς μόνην ἤρκει τὴν ἀναγκαί (494) αν τοῦ σώματος σύστασιν προσιέμενος, τὰ λοιπὰ τράπεζαν πάλιν ἐποιεῖτο πενήτων, ἑτέρων (3) εἶναι τὸ τρυφᾶν βουλόμενος. Αὐτὸς δὲ τοσοῦτον ἔτηξε γαστρὸς ἐνδείᾳ τὴν σάρκα, ὥστε καὶ τὴν ἔνδοθεν πλάσιν καθάπερ διά τινος κατόπτρου τῆς ἐκτὸς ἐπιφανείας σχεδὸν ὑποφαίνεσθαι. Ἡ μέντοι μήτηρ ὀδυνηρότατα διακειμένη καὶ τὰ σπλάγχνα νυττομένη πικρῶς, ἐλάνθανε τοῦτον ἐγγὺς ἔχουσα οὗ στερηθεῖσα καὶ αὐτὴν ἔχειν ἀπηύχετο τὴν ψυχήν, οἷον δὲ καὶ συνέβη ταύτῃ δεινὸν ἀληθῶς μητρὶ (4) καὶ πολὺν ἔχον μετὰ τὸν ἀναγνωρισμὸν τὸν μετάμελον καὶ ταῦτα μηδεμίαν δεχομένου τότε τοῦ πράγματος θεραπείαν. Καὶ γάρ ποτε σεμνὴ σεμνῶς τῆς οἰκίας ὑπὸ προπομποῖς ἐξιοῦσα καὶ θεραπαίναις ὁρᾷ κατεσκληκότα τὸν Ἰωάννην σαπρὰ καὶ διερρωγότα ἠμφιεσμένον τῷ ῥύπῳ τε ὑποδωδότα καὶ τῷ αὐχμῷ καί τι καὶ σκυθρωπὸν (5) ὑπὸ τῆς ἄγαν ἐγκρατείας καὶ ἄγριον βλέποντα. Καὶ αὐτίκα ὥσπερ τινὰ κακὸν οἰωνὸν τὸν ποθεινόν, φεῦ, υἱὸν παρεκκλίνασα κελεύει τοῖς προηγουμένοις ἐκ μέσης αὐτὸν ἑλκύσαντας (6) τῆς ὁδοῦ πρός τινα παρωθῆσαι γωνίαν, «ὥστε μὴ πολλῆς, φησί, παριοῦσαν ἐμπίπλασ (495) θαί με τῆς ἀηδίας». Ταῦτα δὲ ἔλεγε ἀγνοοῦσα πάντως ὅτι αὐτὸν (7) ἀπωθεῖται, ὃν ἐν μέσῃ ψυχῇ διὰ παντὸς ἔφερε. Καὶ τοῦτον οὐχ ὑπέμενε βλέπειν, ὃν οὐχ ὁρῶσα καὶ αὐτὸν τὸν γλυκὺν πᾶσιν ἥλιον πικρὸν ἡγεῖτο καὶ λυπηρὸν πᾶσι (8) θέαμα. Οὕτω μὲν οὖν ὁ Ἰωάννης ἀθλίως (9) ἐξεβλήθη τῆς μητρικῆς ὄψεως, πλὴν ἀλλ' οὐχὶ καὶ αὐτῆς τῆς παρὰ τὸν οἶκον, φημί, κατακλίσεως ἐξέπιπτε παντελῶς, ἀλλ' ἐγγύς που καὶ αὖθις ἔκειτο, βραχεῖαν τινὰ καλύβην, ὥσπερ ἔφημεν, σχεδιάσας. Καὶ τρίτον οὕτω διετέλεσε χρόνον ὁ ἀθλητής, φίλτρῳ γονέων ἰσχυρῶς τυραννούμενος καὶ ὑπ' αὐτῶν ἀπωθούμενος, ὑπὸ οἰκείων ἀσυμπαθῶς παρορώμενος, ὑπὸ τῶν οἰκετῶν ὑβριζόμενος, καὶ τὸ πάντων ἀφορητότατον, ὑπὸ μητρὸς βδελυττόμενος. Καὶ οὐδ' οὕτως ἡττηθεὶς ὁ μέγας ἢ γοερὸν ἀνακλαύσασθαι ἢ ῥῆμα συμπαθὲς φθέγξασθαι ἢ ὅλως παραγυμνῶσαι τὴν οἰκειότητα. Τοῦτο

1) δὲ τοῦ P_2 P_3 P_4 P_5. 2) εἰσέρχεται P_1. 3) ἑτέρως P_2. 4) τῇ μητρὶ P_1. 5) τί σκυθρωπὸν P_6. 6) ἑλκύσαντα P_2 P_5 P_6. 7) αὐτὸν om P_3. 8) πᾶσι om P_1 P_3 P_4 P_5 P_6. 9) ἀθλίως om P_6.

γὰρ ἡ (1) ὑπερβολὴ τοῦ θαύματος, ὅτιπερ οὓς ἐπόθει καὶ ὑφ' ὧν αὐτὸς ἐπο-
θεῖτο πλέον, ὑπὸ τούτων δι' ἄγνοιαν βδελυττόμενος, διωθούμενος (2), καὶ
ταῦτα λόγῳ μόνῳ λῦσαι δυνάμενος ἠνέσχετο (3) φέρων πρὸς πόλεμον οὕτω
μέγαν φύσεως ἀνθιστάμενος.

Ταῦτα ὁρῶν ὁ τῶν ἀδήλων ἐπό (496) πτης ὄναρ αὐτῷ ἐπιφαίνεται
καὶ χαίρειν εὐμενέστατα προσειπὼν μετὰ τρίτην ἑξῆς ἡμέραν εὐαγγελί-
ζεται τὴν ἀνάλυσιν καὶ δαψιλῆ τῶν πόνων ἆθλα καὶ λαμπροὺς αὐτῷ
στεφάνους, φιλοτίμους τε ἀμοιβὰς καὶ πολυτελεῖς ἐπαγγέλλεται. Διανα-
στὰς τοίνυν εὐθέως (4) μετὰ τὴν ὄψιν ἐκεῖνος ἔκλαιε (5) περιπαθές τε (6) καὶ
ἥδιστον καὶ ὁμοῦ μὲν ηὐχαρίστει τῶν εὐαγγελίων τῷ (7) Θεῷ καὶ τῆς ὄψεως,
ὁμοῦ δὲ καὶ τῶν τεκόντων ἐκ ψυχῆς ὑπερηύχετο. Εἶτα μετακαλεῖται τὸν τῆς
οἰκίας ἐπιμελούμενον καὶ ἀξιοῖ σημᾶναι τῇ κυρίᾳ ὡς ὁ πρὸ τῶν πυλώνων
ἐῤῥιμμένος οὗτοσὶ πένης δεῖται σοῦ τῆς εὐμενείας μὴ περιιδεῖν (8) αὐτὸν δι'
εὐτέλειαν καὶ πενίαν, ἀλλ' εἰς ἐπίσκεψιν αὐτοῦ ἀφικέσθαι, τὸν τὸ ἐκείνου
πρόσωπον ὑπερχόμενον αἰδεσθεῖσαν Χριστόν, ὃν οἶδας τοῖς τῆς δεξιᾶς μερίδος
λέγοντα φανερῶς ὅτι «ἀσθενὴς καὶ πτωχὸς ἤμην καὶ ἐπεσκέψασθέ με». Πλὴν
ἀλλὰ καὶ ἔτι μοι, φησί, τὶς λόγος πρὸς σέ (9), ὃς οὐ περιττὸς οἶδα δόξει οὐδὲ
ἀνόνητος». Ὁ μὲν οὖν τοῖς τοῦ πένητος εἶξας λόγοις τῇ δεσποίνῃ πάντα (10)
διασαφεῖ, κἀκείνη τούτων ἀκούσασα σκέπτεται μὲν ἐπὶ πλεῖον (11) καθ' ἑκά-
στην, τί ποτε ἂν εἴη τὸ παρὰ τοῦ πτωχοῦ λεχθησόμενον. Τὸ πρᾶγμα δ' οὖν
ὅμως (497) τῷ ἀνδρὶ προσαγγέλλει καὶ εἰ (12) συγχωρητέον αὐτῇ τὴν τοῦ πτω-
χοῦ ἐπίσκεψιν ἐπυνθάνετο. Καὶ ὃς εὐθὺς ἐπιτρέπει ταύτην τῇ γυναικὶ «τοὺς
πτωχούς, ὦ γύναι, εἰπών, ὁ Θεὸς ἐξελέξατο». Ἐπεὶ δὲ καὶ οὕτως ἀναβαλ-
λομένη καὶ διαμέλλουσα ἦν καί, ὃ φησὶν ὁ θεῖος Δαβίδ, βουλὴν πτωχοῦ κα-
ταισχύνουσα—εὐκαταφρόνητον γὰρ πένης ἀνὴρ κἂν ἔχῃ τι σπουδῆς ἄξιον καὶ
τοὺς πολλοὺς ὑπερέχον—ὁ (13) Ἰωάννης ὁρῶν ἤδη ἐγγίζουσαν καὶ οἷον ἐπὶ
θύραις τὴν τελευτήν, ἄλλωστε δὲ καὶ μετὰ τελευτὴν ἐρῶν (14) τοῦ ταπει-
νοῦ καὶ ἀδόξου καὶ λίαν ἀτίμως ἔχοντος, ὡς ὁ λόγος μετ' ὀλίγον δηλώσει, μη-
νύει τῇ μητρὶ καὶ αὖθις ὡς «ἐγὼ μὲν ἤδη (15) τὴν τελευταίαν ἄπειμι ἐκδημίαν,
σὺ δέ, εἰ μὴ θέας με (16) νῦν ἀξιώσεις, ὕστερον καίτοι πολλὰ μεταμελομένη (17)
ὀνήσεις οὐδέν». Πρὸς ταῦτα τοίνυν λογισμοῖς ἡ μήτηρ περιπεσοῦσα μήπως (18)
τί πρὸς αὐτὴν μέλλοι τῶν ἀναγκαίων ἐρεῖν, ἐπάτασσε γὰρ αὐτὴν ἡ καρδία
μὴ περὶ τοῦ παιδὸς ὁ πένης ἔχοι τοῦ φιλτάτου μηνῦσαι, μή τι (19) περὶ αὐτοῦ
φθέγξασθαι, κελεύει (20) τίσι τῶν ὑπηρετῶν τὸν πτωχὸν ἐκ τῆς καλύβης
ἀνελομένους ἕως αὐτῆς ἀγαγεῖν.

Ἀχθεὶς οὖν παρ' ἐκείνην ὁ Ἰωάννης καὶ πλησίον ὁ παῖς τῆς μη-
τρὸς γενόμενος τῆς ποθουμένης, ὁ διαφερόντως ποθούμενος, καὶ (498)

---

1) ἡ om P_6. 2) διωθούμενος om P_6. 3) ἠνείχετο P_5 P_6. 4) εὐθὺς P_5 P_6. 5) ἔκλαιεν ὑφ' ἡδονῆς P_6 P_5. 6) τί P_2 P_3 P_4 P_6. 7) τῷ om P_1 P_6. 8) μηδὲ περιιδεῖν P_6. 9) πρὸς σὲ λόγος P_5 P_6. 10) πάντα τῇ δεσποίνῃ P_2. 11) πλεῖστον P_6. 12) εἰ om P_1. 13) ὁ om P_4. 14) ἐρᾶν P_5. 15) ἤδη om P_2 P_4. 16) μοὶ P_2. 17) μεταμελουμένη P_1 P_5. 18) μήπου P_5 P_6. 19) τι om P_1. 20) κελεύει οὖν P_1.

ὄμμασι ὄμματα δοὺς καὶ προσρήσει πρόσρησιν, ἔτι ἐγκρατὴς (1) ἦν γλώσσης τε καὶ καρδίας καὶ φύσεως ἀντιβαίνων ὁρμαῖς ἡ μεγάλη ὄντως καὶ θαυμασία ψυχή. Εἶτα ἐν ταπεινῷ φθέγματι (2) καὶ προσχήματι «τὰ πάρ' ὑμῶν εἰς ἐμέ, ἔφη, (3) τὸν πένητα καὶ ξένον γεγενημένα πρὸς τὸν κοινὸν οἶδα τε διαβαίνειν δεσπότην, αὐτοῦ γὰρ ἡ φωνὴ τὸ «ἔφ' ὅσον ἐποιήσατε ἑνὶ τούτων τῶν ἀδελφῶν μου (4) τῶν ἐλαχίστων, ἐμοὶ ἐποιήσατε» πλὴν ἀλλ' ἐμοὶ μὲν τὸ τοῦ βίου τέλος ἐγγύς, βούλομαι δὲ τελευταίαν ταύτην αἴτησιν ὑπὸ Θεῷ τῷ πάντων ἐξεταστῇ καὶ μάρτυρι αἰτήσασθαι παρὰ σοῦ, ἣ δὲ ἐστι τὸ μήτε ἄλλοις περιστεῖλαί μου τὸν νεκρὸν ἐνταφίοις μητ' ἐν ἑτέρῳ καταθεῖναι (5) τόπῳ, ἀλλ' αὐτοῖς ὡς ἔχω τοῖς ῥάκεσι τούτοις συνθάψαι με, ὅπου καὶ τὴν καλύβην αὐτὸς ἐμοῖς χερσὶν ἐπηξάμην». Ταῦτα τῇ μητρὶ ἐπισκήψας πειθομένην εἶχε καὶ πίστεις αὐτῷ δέδωκεν ἀσφαλεῖς οὔπω γινώσκουσα ὅτι μήτηρ ἦν. Τοῦτο γὰρ ἡ ἐκείνου προδιεσκέψατο σύνεσις ἁρπάσαι τὸν καιρὸν εἰς πίστιν πρὸ τῆς ἀναγνωρίσεως. Ταῦτα γοῦν ὁ ἐν ἀληθείᾳ τῇ μητρὶ (6) τοῦ πνεύματος (7) αἰτησάμενος καὶ λαβὼν δίδωσιν αὐτῇ τὸ Εὐαγγέλιον, «ἔστω τοῦ (499) το ὑμῖν, ἐπειπών, σοί τε καὶ τῷ κυρίῳ μου τῷ ἀνδρί σου, πρός τε τὴν παροῦσαν (8) ζωὴν φυλακτήριον ἀσφαλὲς καὶ πρὸς τὸν μέλλοντα βίον σωτηρίας ἐχέγγυον». Ἡ δὲ μήτηρ ἀσμένως τοῦτο παρ' αὐτοῦ δεξαμένη ἐθαύμαζε καὶ διηπορεῖτο πάνυ πόθεν ἄρα καὶ ὅπως τοιοῦτον ὂν (9) τοιούτῳ πένητι περιέλθοι, ἄνω γοῦν καὶ κάτω ταῖς χερσὶ περιστρέφουσα «πολλήν, ἔλεγεν, ἐκείνου διασῴζειν ὁμοίωσιν, ὅπερ (10) ἐπιμελῶς αὐτοὶ (11) λίαν (12) τῷ Ἰωάννῃ κατεσκευάσαμεν». Καὶ ἅμα εἰς νοῦν τὸν παῖδα ἐλάμβανε καὶ τὸ ἄλγος ἀνενεοῦτο, περιπαθέστερόν τε αὐτὸν ἀνεκάλει (13) καὶ σφοδρότερον ἀνῆπτε τὸ πένθος. Καὶ οὐδὲ οὗτος ὁ Ἰωάννης ἡττήθη τῆς φύσεως ὁμολογῆσαι τὴν οἰκειότητα.

Ὀψὲ γοῦν (14) καὶ μόλις (15) ἑαυτὴν ἡ μήτηρ ἀναλαβοῦσα πρόσεισι τῷ ἀνδρὶ τὸ δῶρον ὑποδεικνῦσα (16) καὶ δεινῶς ἐοικέναι τὸ τοῦ φιλτάτου λέγουσα ἢ καὶ ἀκριβῶς (17) αὐτὸ εἶναι «τὸ ὑφ' (18) ἡμῶν γενόμενον». Ὡς δὲ ἐκεῖνος εἶδεν, εὐθὺς ἐπέγνω καὶ μεστὴν ἔσχε (19) παλμοῦ καὶ κινήματος τὴν καρδίαν καὶ (20) «τοῦτο ἐκεῖνο, φησί, ὦ γύναι, καὶ οὐδαμῶς ἕτερον, ἀλλ' αὐτὸ τοῦτο, ὅπερ ἡμεῖς (21) τῷ φιλτάτῳ κατεσκευάσαμεν. Ἀλλ' ἴωμεν δὴ πρὸς τὸν πένητα μάθωμεν (22), ὅθεν τε καὶ ὅπως αὐτὸ λαβὼν ἔχοι καὶ ὅσος ὁ μεταξὺ χρόνος (500) ἐξ οὗ δεσπότης αὐτοῦ κατέστη· τάχα γὰρ ἂν τι καὶ ἄλλο τῶν ζητουμένων ἐξ αὐτοῦ μάθοιμεν (23). Παραχρῆμα οὖν (24) ἐπιστάντες τῷ Ἰωάννῃ ἀνηρώτων, ἐξήταζον, ὅρκων ἀνάγκην ἐπῆγον ταῦτα (25)

1) ἐγκρατῶς P_1 ἐγκρατείας P_6. 2) καὶ φθέγματι P_5 P_6. 3) ἔφη εἰς ἐμὲ P_1. 4) τῶν ἀδελφῶν μου om P_3. 5) μὲ καταθεῖναι P_3. 6) τῇ μητρὶ om P_5 P_6. 7) πτωχὸς τῷ πνεύματι P_5 πτωχὸς τῷ πράγματι P_6 τῷ πνεύματι P_1. 8) παροῦσαν om P_6. 9) τοιοῦτον ὂν om P_6. 10) οὔπερ P_5. 11) αὐτῷ P_5. 12) αὐτοὶ λίαν ἐπιμελῶς P_1. 13) ἐκάλει P_3 P_4. 14) οὖν P_1 δ' οὖν P_4 P_6. 15) μόγις P_5 P_6 16) πρόσεισι τῷ ἀνδρὶ τὸ δῶρον ὑποδεικνῦσα om P_6. 17) αὐτὸ ἀκριβῶς P_1 P_5 P_6. 18) ἐφ' P_5. 19) εἶχε P_1. 20) καὶ om P_1. 21) ἡμεῖς ποτε P_5 P_6. 22) καὶ μάθωμεν P_5. 23) μάθωμεν P_1 P_5. 24) γοῦν P_5 P_6. 25) πάντα P_5 P_6.

ὡς ἔχει (1) διασαφῆσαι, καὶ μηδὲν αὐτοῖς ἀποκρύψαι τῆς ἀληθείας. Ὁ δέ, καὶ ὑπὸ τῆς τελευτῆς ἤδη τομῶς καταλαμβανόμενος καὶ ἐπιορκίας ἁλῶναι μάλιστα φυλαττόμενος, βαθύ τι καὶ πεπονθὼς ἀνοιμώξας καὶ πρὸς δάκρυον ἑαυτὸν ἀνεὶς ὁ παθῶν ἀνθρωπίνων ἀληθῶς ἰσχυρότερος (2) τὸν ἔνδον αὐτοῖς Ἰωάννην ἀνακαλύπτει «ἐγώ εἰμι ὁ ζητούμενος ὑμῖν, ἐπειπών, Ἰωάννης, καὶ τὸ Εὐαγγέλιον αὐτὸ ἐκεῖνό ἐστι, ὅπερ ὑμεῖς περὶ αὐτὴν ἤδη μοι τὴν ἀποδημίαν αἰτησαμένῳ κατεσκευάσατε». Τούτων (3) ὁ πατὴρ καὶ ἡ μήτηρ ἀκούσαντες, ὀφθαλμόν τε περιεργότερον τῷ χαρακτῆρι τοῦ παιδὸς ἐμβαλόντες καὶ ἀκριβῶς αὐτὸν ἀπό τε τῆς θέας, ἀπό τε τῆς φωνῆς, ἀπό τε τῶν ἄλλων ἀναγνόντες σημείων, οὐκ εἶχον ὅτι καὶ γένοιντο (4), εὐφροσύνῃ τε ἅμα καὶ λύπῃ ἀμέτρῳ περιληφθέντες, εὐφροσύνῃ μὲν ἐφ' οἷς τὸν οὕτω ποθούμενον αὐτοῖς ἀνεύρισκον, λύπῃ δὲ ὅτι ὁμοῦ τε εὕρισκον (5) καὶ ἐκ μέσων αὐτῶν τῶν χειρῶν ἀφῃροῦντο.

Τοιγάρτοι καὶ περιβαλόντες αὐτὸν τὰ ἔσχατα καὶ ὅλως περιχυθέντες λίαν περιπαθῶς αὐτὸν (6) ἀνεκαλοῦντο καὶ (501) ἀνεκλαίοντο, «ὦ περιπόθητόν τε καὶ περιώδυνον ἡμῶν (7) τέκνον, λέγοντες, ὦ δαπάνη σπλάγχνων, ὦ γονέων πληγή (8), ὦ κέντρον μέσης αὐτῆς ἁπτόμενον τῆς καρδίας, ὡς πικρότερον ἡμῶν (9) εὑρεθεὶς ἢ ἀπολωλὼς πρότερον ἔπληξας τὴν ψυχήν· τότε μὲν γὰρ ὑπέσαινέ τις ἐλπὶς ἐπανόδου, καὶ τὸ σφοδρὸν τῆς λύπης τῷ γλυκεῖ τῆς ἐλπίδος ὑπελεαίνετο, νῦν δὲ καὶ αὐτὴν ἡμᾶς ἀφαιρεῖς τὴν ἐκ τῶν ἐλπίδων παραμυθίαν, ὥσπερ ἵνα πλέον πλήξῃς ἀνευρεθείς, ἵνα μόνον δείξῃς ἀνέλπιστον τὴν ἐπάνοδον, εἴθε σιωπῶν ἐτελεύτας, εἴθε καὶ θνήσκων ἐλάνθανες ὥσπερ ζῶν· οὕτω γὰρ οὐκ ἂν ὀξύτερον (10) τὸ πάθος ἐποίεις, οὐκ ἂν εὐρυτέραν τὴν πληγὴν (11) ἀνεστόμους· ὦ εὑρέσεως ἀπωλείας δυστυχεστέρας, ὦ ποθουμένης ὄψεως τοὺς ποθήσαντας ἀνιώσης· ὡς ἔδει πάντως ἢ μετὰ τὴν ἐπάνοδον εὐθὺς ἀναγνωρισθῆναι, ἵν' ὑπῆρχε τὶς καὶ καιρὸς (12) εὐφροσύνης, ἵνα μὴ λύπη λύπην, ἀλλὰ καὶ ἡδονή τις τὸ λυποῦν διεδέχετο ἢ λαθόντα (13) τὸν θάνατον ὑπελθεῖν. Νῦν δὲ δεινὴ ἄγνοια· τί πρότερον δεῖ; τῇ ἐπανόδῳ χαίρειν ἢ τὴν τελευτὴν ἀποδύρεσθαι; ὦ δείλαιοι δειλαίων ἡμεῖς! πῶς ὃν παντα-χοῦ (14) ἐζητοῦμεν, τοῦτον ἐν χερσὶν ἔχοντες ἀπηλαύνομεν! ὦ (502) κύκλος ἀστέρων, ὦ πάντα (15) ἐφορῶν ἥλιε! οἷον ἰδεῖν ἠνέσχεσθε (16) θέαμα! ποῖαι βαρύτητες στεναγμῶν (17), ποῖαι πηγαὶ δακρύων, πρὸς τοσοῦτον ἀρκέσουσι πάθος! ὤφελον, ὦ παῖ, καὶ τοὺς γεννήτορας συνοιχομένους (18) σοι παρελάμβανες, ἵνα κἂν ὁδοῦ δῶρον εἴχομεν τοῦ φιλτάτου τὴν συνουσίαν, ὧν (19) οὓς ἐστέρησας εὐφροσύνης τῆς ἐπί σοι χρόνον οὐκ ὀλίγον ἤδη, καὶ δακρύων οὕτως ἠλευθέρους (20) τῶν ὑπὲρ σοῦ! νῦν δὲ τίς λίθος, τίς σίδηρος, ποία φύσις ὅλως τοιοῦτον βάρος οἴσει κακοῦ;» Οἱ μὲν δὴ ταῦτα (21) καὶ ὅσα

---

1) ἔφη P_1 P_2. 2) καὶ πρὸς δάκρυον . . . ἰσχυρότερος om P_1. 3) τοῦτο P_1. 4) γένοιτο P_6. 5) λύπῃ δὲ ὅτι ὁμοῦ τε εὕρισκον om P_6 ἀνεύρισκον P_5. 6) αὐτὸν om P_5 P_6. 7) ἡμῖν P_5 P_6. 8) πηγὴ P_6. 9) ἡμῶν om P_1 10) ὀξύτερον ἡμῖν P_5 P_6. 11) τομὴν P_2. 12) τὶς καιρὸς P_2 P_3 P_4. 13) λανθάνοντα P_2 P_6. 14) γῆς add P_1 P_5 P_6. 15) πάντας P_1. 16) ἠνέσχου P_2. 17) ποῖαι βαρύτητες στεναγμῶν om P_4. 18) συναπιόντας P_5 P_6. 19) ἵν' P_5 P_6. 20) ἐλευθέρους P_1 P_6 ἤδη καὶ δακρύων ἤδη οὕτως ἠλευθέρους P_5. 21) τοιαῦτα P_2.

1 τὸ πάθος (1) ἐδίδου, περικεχυμένοι τῷ υἱῷ ἀνεφθέγγοντο καὶ τὸν θρῆνον εἰς πλείους ἢ τέσσαρας παρέτεινον ὥρας (2), τὸν δὲ κατὰ μικρὸν ἐπιὸν τὸ τέλος ἀφῄρει τὴν αἴσθησιν. Εἶτα καὶ αὐτὴν ὁ καλλίνικος τὴν ψυχὴν ὑπὸ φίλαις τῶν τεκόντων ἀφῆκε χερσὶ καὶ τὴν πόλιν εἶχε πάθος τι σύμμικτον καὶ καινόν,
5 ἡδονή, θαῦμα, δάκρυα. Ἔχαιρον ἐπὶ νέου ἀνευρέσει περιφανοῦς, ἐθαύμαζον ἀπαράμιλλον ὑπομονὴν ἀσκητοῦ, συνεθρήνουν πατράσιν υἱοῦ τέλους ποθεινοτάτου.

Ἡ μέντοι μήτηρ τῶν τοῦ παιδὸς ἐντολῶν ἐπιλαθομένη εἴτε καὶ τῷ περὶ αὐτὸν ἡττηθεῖσα φίλτρῳ ἀποδύει μὲν (3) εὐθὺς τὰ ῥάκια, περιβάλλει δὲ
10 πο (503) λυτελῆ καὶ λαμπρά. Καὶ αὐτίκα πάρεσις (4) τῶν μελῶν ἐλάμβανεν οὐ προσιεμένου τὸ γεγονὸς τοῦ παιδός (5), ὦ (6) τοῦ θερμοῦ πρὸς Χριστὸν ἔρωτος ὅτι καὶ (7) αὐτὰ (8) τῶν ἄθλων τὰ σύμβολα πολλῷ τῆς μητρὸς ἦγε δι' αὐτὸν ὁ ἀσκητὴς ποθεινότερα. Ὁ γοῦν (9) πατὴρ οὕτω παρεθεῖσαν τὴν γαμετὴν θεασάμενος τῶν τοῦ παιδὸς αὐτὴν ἐντολῶν ἀνεμίμνησκε καὶ ἅμα ὁ παῖς τὰ
15 πολυτελῆ ἐκδυθεὶς τὰ συνήθη περιεβάλλετο καὶ ἡ μήτηρ τὴν πάρεσιν ἀπεδύετο. Καὶ ὁ παῖς πατέρων σωφρονιστὴς ἦν, δεικνύοντος, ὡς (10) ἔοικε, τοῦ Θεοῦ ὅτι μὴ μόνον ἐντολαὶ γονέων παισὶ φυλακῆς ἄξιαι, ἀλλὰ καὶ πατράσιν ἐπισκήψεις παίδων, ὅταν δῆλον ὅτι σκοποῦ τοῦ (11) κατὰ Θεὸν ἔχωνται.

Θάπτεται μὲν οὖν ὁ γενναῖος ἀγωνιστὴς ἐν αὐτῇ τῇ καλύβῃ, ὥσπερ δὴ καὶ
20 περὶ τούτου (12) ἐπέσκηψεν. Ἤδει γὰρ ὅτι τὰ οὕτω ταπεινὰ μᾶλλον ἢ λαμπρότης τῶν ἄνω σκηνῶν διαδέχεται καὶ ναὸς αὐτῷ παρὰ τῶν τεκόντων ἱερὸς ἀνεγείρεται καὶ τὰ ἐκείνου πάντα παρ' αὐτῆς τε τῆς ὑποδεξαμένης μονῆς καὶ τῶν θεραπόντων πᾶσιν ἀνακαλύπτεται. Μετὰ ταῦτα δὲ καὶ οἱ τούτου γονεῖς καλῶς τὰ καθ' ἑαυτοὺς διαθέμενοι (13) τὸν βίον ἀλλάττονται, τῆς αὐτῶν οὐ-
25 σίας τὰ μὲν καθιερώσαντες τῷ ναῷ τὰ δὲ δια (504) δόντες τοῖς δεομένοις ἵν' ἔχοι τι καὶ τὸ δένδρον ἀκόλουθον τῷ καρπῷ εἰς δόξαν Θεοῦ καὶ (14) πατρὸς τοῦ Κυρίου ἡμῶν (15) Ἰησοῦ Χριστοῦ, ᾧ πρέπει πᾶσα τιμὴ (16), κράτος, μεγαλωσύνη (17)τε καὶ μεγαλοπρέπεια, νῦν καὶ ἀεὶ καὶ (18) εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

1) καὶ ἄλλα ὅσα τὸ πάθος P_5 P_6. *2) ὥρας παρέτεινον* P_6. *3) μὲν αὐτὸν* P_5 P_6 *4) πάρεσις αὐτὴν* P_1 P_5 P_6. *5) τοῦ παιδὸς τὸ γεγονὸς* P_5. *6) ὦ* om P_1. *7) καὶ* om P_1. *8) τὰ* add P_6. *9) οὖν* P_2. *10) σωφρονιστὴς ἐδείκνυτο δηλοῦντος ὡς* P_5 P_6. *11) τοῦ* om P_5. *12) περὶ τούτου* om P_2. *13) διατειθέμενοι* P_2 P_3 *14) καὶ* om P_1. *15) ἡμῶν* om P_1 P_2 P_3 P_4. *16) τιμὴ καὶ* P_1. *17) καὶ μεγαλωσύνη* P_5. *18) νῦν καὶ ἀεὶ καὶ* om P_3 *νῦν καὶ ἀεὶ* om P_2 P_4.

Σημ : *Σελ. 288, 2 πρβ. Μαρκ. 16, 34· Σ. 288, 21 πρβ. Ψαλ. 39, 5· Σ. 289, 15—16 πρβ. Ψαλ. 118, 103· Σ. 290, 11—12 πρβ. Ψαλ. 41, 2· Σ. 293, 34 πρβ. 41, 3 Σ. 294, 17—18 πρβ. Ψαλ. 89, 12· Σ. 296, 16 πρβ. Ματ. 25, 36· Σ. 296, 22—23 πρβ. Ἰακ. 2, 5· Σ. 296, 24—25 πρβ. Ψαλ. 13, 6· Σ. 297, 5—6 πρβ. Ματ. 25, 40—41.*

Παρατηρήσεις:

1. Ὡς ἐν ἀρχῇ τῆς παρούσης μελέτης (σ. 259—261) ἐγράφη, μόνον ἡ παραλλαγὴ α τοῦ βίου τοῦ Ἁγίου Ἰωάννου τοῦ Καλυβίτου ἐν τῷ ἑλληνικῷ κειμένῳ ἦτο εἰς ἡμᾶς γνωστή, δημοσιευθεῖσα ἐν Patrologia Graeca τόμ. 114, στ. 568—581. Τὸ κείμενον τοῦτο ἐβασίσθη ἐπὶ τριῶν Παρισινῶν κωδίκων, ὡς τοῦτο ῥητῶς ἀναγράφεται, τῶν ὑπ' ἀρ. 1632, 1556 καὶ τοῦ Coisl. 121. Ἐκ τούτων ὁ πρῶτος μὲν κατὰ τὸν κατάλογον τῶν κωδίκων εἶναι τοῦ 16ου αἰῶνος, ὁ δεύτερος τοῦ 15ου, ὁ δὲ τρίτος ἐγράφη τὸ ἔτος 1343. Οὕτως ὁ βάσει τῶν κωδίκων τούτων δημοσιευθεὶς βίος ἀπέχει πολὺ τοῦ ὑφ' ἡμῶν ἐν τῇ παρούσῃ μελέτῃ ἀνακοινωθέντος ἐκ τοῦ Paris. 513 ὡς καὶ τοῦ ἐκ τοῦ Paris. 1556. Βεβαίως καὶ ἡμεῖς ἐλάβομεν ὑπ' ὄψιν τὸν Coisl. 121, τοῦ ὁποίου τὰς γραφὰς ὑπεσημειώσαμεν εἰς τὸ κριτικὸν ὑπόμνημα. [Ὁ κῶδιξ οὗτος ὀλίγον πρὸ του τέλους, σ. 272 στ. 21, μετὰ τὰς λέξεις «ἐνδυθέντος δὲ αὐτοῦ» διακόπτει τὸ κείμενον λόγῳ φθορᾶς τοῦ φύλλου, ἐν ᾧ εἶχον γραφῆ οἱ δέκα τελευταῖοι στίχοι τῆς βιογραφίας τοῦ ἁγίου.] Ἀλλ' ὅμως ἡ ἁπλῆ παράθεσις παραλλήλων χωρίων ἀποδεικνύει ἐμφανῶς τὸ βάσιμον τῆς ἡμετέρας διαπιστώσεως, ὅτι μόνον, ὅτε θὰ ἔχουν ἐκδοθῆ οἱ πλέον σημαντικοὶ μάρτυρες τοῦ βίου τοῦ Ἁγίου Ἰωάννου τοῦ Καλυβίτου, τότε θὰ καταστῇ δυνατὴ ἡ κριτικὴ ἔκδοσις τῶν παραλλαγῶν τοῦ βίου τούτου.

Ἰδοὺ ἓν παράδειγμα :

(P. G. *παράγραφος Γ*')

Ἀκούσας δὲ ὁ Ἰωάννης, λαβόμενος τῆς χειρὸς αὐτοῦ, ἀναχωρεῖ κατ' ἰδίαν, καὶ ἤρξατο ὅρκοις φρικωδεστάτοις ἀνακρίνειν αὐτὸν ἐπὶ τοῦ ἐκτελέσαντα τῆς εὐχῆς ὁδοιπορίαν ἀνακάμψαι αὐτόν, καὶ συμπαραλαβεῖν αὐτὸν εἰς τὸ μοναστήριον, λέγων. Ἐλεεινὸς ἔστω, ὦ ἀββᾶ, ὅτι οἱ γονεῖς μού με παρὰ τοὺς ἄλλους ἀδελφοὺς φιλοῦντες, καὶ βουλόμενοί με μάθησιν καὶ γράμματα μαθεῖν, ἵνα με καταστῶσιν εἰς μεγάλην ἀξίαν καὶ παρὰ τοὺς ἐμοὺς ἀδελφοὺς ὑψηλοτέραν, εἶτα γάμῳ προσομιλῆσαι. Ἐγὼ δὲ ἐκεῖ εἰς τὴν ἱερὰν ἐκκλησίαν ἐλθών, ἀναγινώσκω μέν, ἔγνων δὲ ὅτι πάντα τὰ τοῦ βίου τούτου μάταιά εἰσι καὶ ἐκεῖνος μόνον σῴζεται ὁ καταφρονῶν τῶν τοῦ βίου πραγμάτων καὶ δουλεύων τῷ Χριστῷ διηνεκῶς ἐν τῷδε ὑμῶν σχήματι, διὸ προσπίπτω σοι, κύριε, λαβεῖν με μετὰ σοῦ εἰς τὸ ἅγιον μοναστήριον καὶ συγκαταλέξαι τῇ ἁγίᾳ σου ποίμνῃ. Ταῦτα ἀκούσας ὁ ἀββᾶς μεθ' ὅρκου πληροφορήσας αὐτὸν τὴν ἐπάνοδον δι' αὐτοῦ ποιεῖσθαι καὶ λαμβάνειν αὐτὸν μετ' αὐτοῦ εἰς τὸ μοναστήριον.

(Paris. *513*, *σ. 263*, *στ. 8—25*).

Ταῦτα ἀκούσας ὁ Ἰωάννης λαβόμενος τῆς χειρὸς αὐτοῦ ἔρχεται κατ' ἰδίαν καὶ ὅρκοις φρικωδεστάτοις τοῦτον κατησφαλίσατο ἐπὶ τὸ ἐκτελοῦντος αὐτοῦ τὴν ὁδοιπορίαν πάλιν ἐπανακάμψαι πρὸς αὐτόν, ὀφείλοντα καὶ αὐτὸν συμπαραλαβεῖν μεθ' ἑαυτοῦ εἰς τὴν ἁγίαν μονήν. Ἔλεγε γὰρ αὐτῷ ὁ Ἰωάννης : «Ἄκουσον, ἀββᾶ μου, καὶ συμπάθησόν μοι· οἱ γὰρ κύριοι οἱ γονεῖς μου πολὺ ποθήσαντές με ὑπὲρ τοὺς ἀδελφούς μου καὶ ὑπὲρ πάντας τοὺς ἐν τῷ οἴκῳ ἡμῶν διὰ πλειόνων γραμμάτων σοφιστικῶν παιδεύσαντές με βούλονται ἐπὶ μεγάλην ἀξίαν με ἀγαγεῖν· ὡς γὰρ λέγει ὁ κύριός μου καὶ πατήρ μου, μείζονι τῆς ἰδίας ἀξίας τῆς τοῦ στρα-

τηλάτου βούλεταί με ἐγκαταλέξαι, πάντως δὲ μετὰ τοῦτο καὶ γάμῳ προσομιλῆσαι. Ἀλλ' ἐγὼ ποτὲ μὲν ἐν τῇ ἁγίᾳ ἐκκλησίᾳ χαιρόμενος, ποτὲ δὲ καθ' ἑαυτὸν ἀναγινώσκων, ἔγνων ὅτι πάντα τὰ ἐν τῷ βίῳ μάταιά εἰσιν καὶ ὅτι μόνος ἄνθρωπος ἐκεῖνος σῴζεται ὁ καταφρονήσας τῶν τοῦ βίου πραγμάτων καὶ δουλεύων τῷ Χριστῷ ἀκαταγνώστως ἐν τῷ ὑπερτέρῳ σχήματι. Καὶ τούτου ἕνεκεν προσπίπτω σοι, κύριέ μου, ἐπὶ τὸ παραλαβεῖν σε κἀμὲ καὶ συγκαταλέξαι τῇ ἁγίᾳ μονῇ». Ταῦτα ἀκούσας ὁ ἀββᾶς μεθ' ὅρκου συντίθεται αὐτῷ τὴν ἐπάνοδον ποιήσασθαι αὐτόθι καὶ συμπαραλαμβάνειν αὐτῷ.

(Coisl. *121*, *σ. 263*, *στ. 8—25*).

Ταῦτα ἀκούσας ὁ Ἰωάννης καὶ λαβόμενος τῆς χειρὸς αὐτοῦ ἔρχεται κατ' ἰδίαν καὶ ὅρκοις φρικωδεστάτοις τοῦτον κατησφαλίσατο ἐπὶ τὸ ἐκτελέσαι αὐτὸν τὴν ὁδοιπορίαν πάλιν ἐπανακάμψαι πρὸς αὐτόν, ὀφείλοντα παραλαβεῖν καὶ αὐτὸν μετ' αὐτοῦ εἰς τὴν ἁγίαν μονήν. Ἔλεγε γὰρ αὐτῷ ὁ Ἰωάννης: «Ἄκουσόν μοι, πάτερ, καὶ συμπάθησόν μοι· οἱ γὰρ κύριοι οἱ γονεῖς μου πολὺ ποθήσαντές με ὑπὲρ τοὺς ἀδελφούς μου καὶ πάντας τοὺς ἐν τῷ οἴκῳ μου καὶ διὰ πλειόνων γραμμάτων σοφιστικῶν παιδαγωγήσαντές με βούλονται ἐπὶ μεγάλην ἀξίαν ἀγαγεῖν· ὡς γὰρ λέγει ὁ κύριος ὁ πατήρ μου, μείζονι τῆς ἰδίας ἀξίας τῶν στρατηλατῶν βούλεταί με ἐγκαταλέξαι, πάντως δὲ καὶ μετὰ τοῦτο καὶ γάμῳ προσομιλῆσαι. Ἀλλ' ἐγὼ πρῶτον μὲν ἐν τῇ ἁγίᾳ ἐκκλησίᾳ χαιρόμενος, ποτέ δε καθ' ἑαυτὸν ἀναγινώσκων, ἔγνων ὅτι πάντα τὰ ἐν τῷ βίῳ τούτῳ μάταια καὶ κατώδυνά εἰσιν καὶ ὅτι μόνος ὁ ἄνθρωπος ἐκεῖνος σῴζεται ὁ καταφρονήσας τῶν τοῦ βίου πραγμάτων καὶ δουλεύων τῷ Χριστῷ ἀκαταγνώστως ἐν τῷ ἡμετέρῳ σχήματι. Καὶ τούτου ἕνεκεν προσπίπτω σοι τοῦ λαβεῖν με, κύριέ μου, μετὰ σοῦ καὶ συγκαταλέξαι τῇ ἁγίᾳ ὑμῶν μονῇ». Ταῦτα ἀκούσας ὁ ἀββᾶς μεθ' ὅρκου ἐπείσθη αὐτὸν καὶ τὴν ἐπάνοδον ποιεῖσθαι δι' αὐτοῦ ὀφείλοντα συμπαραλαμβάνειν αὐτὸν μετ' αὐτοῦ.

(Paris. *1556*, *σ. 273*, *στ. 23—32*).

Ἀκούσας δὲ ὁ Ἰωάννης ἀναχωρεῖ κατ' ἰδίαν, λαβόμενος τῆς χειρὸς αὐτοῦ, καὶ ἤρξατο ὅρκοις φρικτωδεστάτοις ἀνακρίνειν αὐτὸν ἐπὶ τὸν ἐκτελέσαντα τῆς εὐχῆς τὴν ὁδοιπορίαν ἀνακάμψαι αὐτὸν καὶ συμπαραλαβεῖν αὐτὸν εἰς τὸ μοναστήριον, λέγων ὅτι «οἱ γονεῖς μου μαθητεύο(ντες) με βούλονται καὶ εἰς μεγάλην μὲ ἀξίαν ἀγαγεῖν καὶ γάμῳ προσομιλῆσαι. Ἐγὼ δὲ ἔγνων ὅτι πάντα τὰ τοῦ βίου τούτου μάταιά εἰσι, κἀκεῖνος μόνον σῴζεται ὁ καταφρονῶν τοῦ βίου τούτου, δι' ὃ προσπίπτω σοι, κύριέ μου, λαβεῖν εἰς τὸ μοναστήριον καὶ συγκαταλέξαι τῇ ἁγίᾳ σου ποίμνῃ». Ταῦτα ἀκούσας ὁ ἀββᾶς μεθ' ὅρκου πληροφορήσας αὐτὸν τὴν ἐπάνοδον δι' αὐτοῦ ποιεῖσθαι καὶ λαμβάνειν αὐτόν.

2. Ἀνωτέρω δημοσιεύομεν (σ. 281—287) ἀνέκδοτον μορφὴν τῆς βιογραφίας τοῦ ἡμετέρου ἁγίου ἐκ τοῦ Paris. 1449, ἡ ὁποία φέρει τὸν τίτλον «Ὑπομνήματα τοῦ βίου καὶ τῆς πολιτείας . . . ». Τὸ κείμενον τοῦτο εἶναι συγγενὲς ὡς πρὸς τὸ περιεχόμενον

ἀλλὰ ἀκόμη καὶ ὡς πρὸς τὴν ἔκφρασιν πρὸς τὴν παραλλαγὴν β, τῆς ὁποίας τὸ μέχρι τοῦδε ἀνέκδοτον ἑλληνικὸν κείμενον δημοσιεύομεν ἀνωτέρω ἐκ τοῦ Paris. 789 κώδικος. Πράγματι τὸ κείμενον τῶν Ὑπομνημάτων εἶναι βραχεῖά τις μορφὴ τοῦ ἑτέρου κειμένου. Δὲν δυνάμεθα νὰ ἀποφανθῶμεν ἐὰν τὰ Ὑπομνήματα ἐγένοντο βάσει τῆς παραλλαγῆς β, ἢ ἐὰν ἡ παραλλαγὴ β εἶναι ἁπλῶς διαπλάτυνσις καὶ ἐκτεταμένη μορφὴ τῶν Ὑπομνημάτων. Παραθέτομεν κατωτέρω παράλληλον χωρίον πρὸς καλλιτέραν κατανόησιν τῶν ὑφ' ἡμῶν λεχθέντων :

(Paris. *1449, σ. 281, στ. 16—20*).

Ἐν μιᾷ οὖν τῶν ἡμερῶν μοναχός τις τῆς μονῆς, ᾗ ἐπωνυμία οἱ Ἀκοίμητοι, εὐχὴν εὐξάμενος πορευθῆναι εἰς Ἱεροσόλυμα ξενίζεται ἐν τῇ τοῦ στρατηλάτου οἰκίᾳ, ὃν ἰδὼν ὁ φιλάρετος Ἰωάννης ἀνεπυνθάνετο πόθεν τε εἴη καὶ ποῦ πορεύοιτο καὶ τίς ὁ τρόπος τῆς ἐν τῇ μονῇ συνασκήσεως. Ὁ δὲ τά τε ἄλλα σαφῶς διηγήσατο καὶ τὸν σκοπὸν τῆς ὁδοιπορίας οὐκ ἀπεκρύψατο.

(Paris. *789, σ. 289, στ. 1—17*).

Ποτὲ γοῦν τις τῶν ἐν τῇ μονῇ μοναχῶν, ἣ τῶν Ἀκοιμήτων ὠνόμασται, θείῳ τοῦ παρὰ τὰ Ἱεροσόλυμα γενέσθαι πόθῳ ληφθεὶς καὶ πορείας ἤδη τῆς πρὸς αὐτὰ φερούσης ἅπτεσθαι μέλλων, κατά τινα δὲ χρείαν τὴν Κωνσταντίνου πόλιν εἰσελθών, ἐπιξενοῦταί που πλησίον τῆς τοῦ στρατηλάτου οἰκίας. Ὃν Ἰωάννης ἰδὼν καί τι καὶ πρὸς μόνην τοῦ μοναχοῦ τὴν θέαν παθών, οἱονεί τις δαλὸς πρὸς πυρὸς ἁφὴν ἑτοιμώτατος, ἐρωτᾶν ἤρξατο καὶ πυνθάνεσθαι παρ' αὐτοῦ ἐφ' ᾧ τε ἥκοι καὶ ὅθεν εἴη καὶ τὶς ἡ τοῦδε μονὴ καὶ τὶς ἄρα καὶ οἷος ὁ τῆς ποίμνης ταύτης λογικῶς προϊστάμενος. Τοῦδε καὶ τὴν μονὴν εἰπόντος καὶ τὸν προεστηκότα καὶ τὴν καλέσασαν εἰς τὴν Κωνσταντίνου χρείαν διασαφήσαντος, ἀλλὰ καὶ τὸν σκοπὸν αὐτῷ τῆς μελλούσης ἀποδημίας κρύψαντος οὐδαμῶς, ἑώρα γὰρ ἀκοὴν διψῶσαν πνευματικῶν ἐννοιῶν, ὁ χρηστὸς οὗτος Ἰωάννης ὑπολαβών, ὅπως τε διάγοιεν κατὰ τὴν μονὴν καὶ ὅπως αὐτοῖς ἔχοι τὰ τῆς ἀσκήσεως ἐπηρώτα πάλιν. Ἐπεὶ δὲ καὶ ταῦτα κατὰ μέρος ὁ μοναχὸς διηγεῖτο, ἡδέως ἄγαν ἐπὶ τούτοις ὁ Ἰωάννης διέκειτο, γλυκέα τε τῷ λάρυγγι αὐτοῦ τὰ εἰρημένα ἐδόκει καὶ ὑπὲρ μέλι τῷ στόματι, ἀσκήσεώς τε αὐτὸν ἤδη τοιαύτης ἐλάμβανε πόθος καὶ ἱδρώτων ἤρα πνευματικῶν.

3. Δὲν θεωροῦμεν ἄσκοπον νὰ ὑπενθυμίσωμεν ὅτι ὑπάρχει κανὼν πρὸς τιμὴν τοῦ ἡμετέρου ἁγίου γραφεὶς τὸν 9ον αἰῶνα [ἰδὲ Ὁ δ. Λ α μ ψ ί δ ο υ, Βίος καὶ πολιτεία . . . Ἀρχεῖον Ἐκκλησιαστικοῦ Δικαίου, 19 (1964), τεῦχ. 2, σ. 5 καὶ σημ 1, 2], ὁ ὁποῖος δέον νὰ χρησιμοποιηθῇ ὡς ἡ ἀρχαιοτέρα μορφὴ τῆς βιογραφίας τοῦ ἡμετέρου ἁγίου ἐν συγκρίσει ἀναμφιβόλως καὶ συναρτήσει μετὰ τῶν συναξαριακῶν κειμένων.

4. Ἐκ τῶν εἰς τὸν Ἅγιον Ἰωάννην τὸν Καλυβίτην ἀναφερομένων γνωστῶν κειμένων μόνον ὁ Paris. 1556 ἐν τέλει μνημονεύει θαυμάτων τοῦ ἁγίου, γεγονὸς τὸ ὁποῖον δὲν ἀνεφαίνετο εἰς οὐδεμίαν τῶν δύο παραλλαγῶν, καίτοι τὸ ἐν P. G. ἐκδοθὲν κείμενον εἶχε ὑπ' ὄψιν τὸν ἀνωτέρω κώδικα Paris. 1556 Ἡ πρώτη αὕτη μνεία τῆς θαυματουργοῦ δράσεως τοῦ ἁγίου πρὶν ἢ τὸ λείψανον αὐτοῦ ταφῇ [«πολλοὶ δὲ οἱ ἀπὸ τῆς πόλεως οἰκοῦντες νόσους ἔχοντες διαφόρους συνέδραμον ἐν τῷ τοῦ ἁγίου λειψάνῳ. Καὶ ἰάσεις λαβόντες ἀπῄεσαν χαίροντες, δοξάζοντες τὸν θεὸν τὸν ποιοῦντα θαυμά-

σια . . . »] εἶναι λίαν ὀλιγόλογος καὶ ἐμφαίνει ὅτι δὲν εἶναι μακροχρόνιος ἡ ἐν τοῖς κειμένοις παράδοσις τῆς μνείας ταύτης. Προσέτι ἐν τῷ αὐτῷ κώδικι ἀναγράφεται ὅτι τὸν νεκρὸν τοῦ ἁγίου ἐπεσκέφθη «ἅπας ὁ λαός», ὁ βασιλεύς, ὁ ὁποῖος «παρεγένετο καὶ τὰς τιμίας αὐτοῦ εὐχὰς ἐξῃτήσατο κατασπασάμενος αὐτόν», ὡς καὶ ἡ σύγκλητος. Νομίζομεν ὅτι ἡ ἀναγραφὴ τῆς βασιλικῆς ἐπισκέψεως, μὴ ἀναφερομένης εἰς ἀρχαιοτέρους κώδικας, ἐγένετο τῇ ἐπιδράσει βιογραφιῶν ἄλλων ἁγίων, ὡς π. χ. τῆς τοῦ ἁγίου Ἀλεξίου, τοῦ ἀνθρώπου τοῦ Θεοῦ, ἐν τῇ ὁποίᾳ λέγεται ὅτι ὁ βασιλεὺς ἐπεσκέφθη τὸν νεκρὸν ἅγιον εὐθὺς μετὰ τὸν θάνατον αὐτοῦ. [Διά τινα σχέσιν τῆς βιογραφίας τοῦ ἁγίου Ἀλεξίου πρὸς ἐκείνην τοῦ ἡμετέρου ἁγίου ἰδέ, Ὀ δ. Λ α μ ψ ί δ ο υ, Θεματικὰ σχόλια εἰς λαϊκὰς διηγήσεις τῶν Ἑλλήνων τοῦ Πόντου, Ἀρχεῖον Πόντου, 26 (1964) σ. 319—372 καὶ ἰδιαιτέρως ἐν σ. 367—372].

5. Ἀναμφιβόλως τὰ ἁγιογραφικὰ κείμενα, τὰ περιγράφοντα τὸν βίον καὶ τὴν πολιτείαν ἁγίου Ἰωάννου τοῦ Καλυβίτου δὲν προσφέρουν ἱστορικὰς πληροφορίας σημαντικὰς εἰς τὸν ἐρευνητήν, ἀλλ' ὅμως διαφέρουν καὶ τοῦ συνήθους τύπου τῶν ἁγιογραφικῶν κειμένων περιέχοντα λεπτομερείας, αἱ ὁποῖαι καθιστοῦν ταῦτα καὶ διὰ τὸν ἱστορικὸν λίαν ἐνδιαφέροντα. Μεταξὺ τῶν ἄλλων περιγράφονται κατὰ τὸ μᾶλλον ἢ ἧττον τὰ κατωτέρω :

α. Ἡ ἐν Βυζαντίῳ σχολικὴ πρᾶξις (ἡλικία μαθητοῦ—διδαχθεῖσα ὕλη μέχρι τοῦ δωδεκάτου ἔτους—φοίτητις καὶ διασκεδάσεις μαθητῶν—βιβλία πρὸς ἀνάγνωσιν—διαφορὰ τῆς κοινωνικῆς τάξεως τοῦ μαθητοῦ ὡς πρὸς τὴν κατασκευὴν τοῦ βιβλίου).

β. Ὁ μοναχικὸς βίος (ἡλικία καὶ δοκιμασία διὰ τὴν εἴσδοχὴν εἰς μονὴν—κουρὰ—ἡ ἐν τῇ μονῇ διαβίωσις—διοίκησις τῆς μονῆς—ἔξοδος τῶν μοναχῶν ἐκ τῆς μονῆς πρὸς προσκύνησιν τῶν Ἁγίων Τόπων—μονὴ τῶν Ἀκοιμήτων ἐν τῇ ἀντιπέραν τοῦ Βυζαντίου τοποθεσίᾳ—ναὸς καὶ εὐαγὲς ἵδρυμα ἐν Βυζαντίῳ ἐν τῇ τοποθεσίᾳ τῆς καλύβης τοῦ ἁγίου, ἰδὲ ἀνωτέρω τῆς παρούσης μελέτης σ. 260 σημ. 1 καὶ Ὀ δ. Λ α μ ψ ί δ ο υ, Βίος καὶ πολιτεία ἁγίου Ἰωάννου . . . Ἀρχεῖον Ἐκκλησιαστικοῦ καὶ Κανονικοῦ Δικαίου, 19 (1964), σ. 4 τοῦ ἀνατύπου σημ. 1,—ἀποχώρησις μοναχοῦ ἐκ τῆς μονῆς).

γ. Οἱ ἐπαῖται καὶ ἡ διαβίωσις αὐτῶν ἐν Βυζαντίῳ.

δ. Οἱ ἄρχοντες (συνήθειαι αὐτῶν—διοίκησις τοῦ οἴκου των—ὑπηρετικὸν προσωπικόν).

ε. Τὰ ἔθιμα περὶ τοὺς νεκροὺς (μυρολόγια—ἔνδυσις τοῦ νεκροῦ—ἀφιερώματα εἰς μνήμην αὐτοῦ).

καὶ *στ.* Τὰ ταξείδια ἐν τῇ ξηρᾷ καὶ ἐν τῇ θαλάσσῃ (ἡ ναύλωσις πλοίου διὰ τὴν μεταφορὰν εἰς τὴν ἀντιπέραν ὄχθην καὶ ἡ ἀξία τοῦ ναύλου).